ΔΑΒΙΔΗΣ ΕΜΜΕΤΡΟΣ,

SIVE

METAPHRASIS LIBRI PSALMORUM

GRÆCIS VERSIBUS CONTEXTA.

Per JACOBUM DUPORTUM *Cantabrigienſem*,
Regium Græcæ Linguæ Exprofeſſorem, D. P.

In uſum Scholæ *Weſtmonaſterienſis.*



OXONII,
E THEATRO SHELDONIANO,
Impenſis *Jonæ Bowyer* ad inſigne Roſæ juxta Porticum occidentalem S. *Pauli Londini*. 1712.

BRITISH MUSEUM

Ψ Α Λ. Α'. 1.

1 ΤΡΙΣ μάκαρ ἔστ' ἀνὴρ, ὃς ἀνήνατο πάγχυ πιθοῖς
Δυσσεβέων βουλῇ, αὐτῷ τε μετ' ἴχνια βῆναι·
Οὐδ' ἔσχη ὁλοῇσιν ἐν ἀτασθαλίῃσιν ἁλείτεων·
Οὐδ' ἐν ἕδρῃ λωβητῆρων κάθισε, θεσπεσίῳ.
2 Θεσμῷ δ' Ἀθανάτοιο μάλ' ἔνδοθι θυμὸν ἐτέρφθη,
Θέσφατα δ' ἐν φρεσὶ θῆκε διαμπερὲς, εὖ τ' ἐνόησεν
Ἠμάπυ νύχιός θ', ὅτι μιν γλυκὺς ἵμερος αἱρεῖ.
3 Δένδρεον ὣς δ' ἔσηκε παρὰ ποταμοῖο ῥέεθρα
Ῥιζῇσιν πυκινῇς, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
Καλὸν, τηλεθάον, καρπὸς δέ τε γίγνεται ὥρῃ·
Τῷ δέ κεν ὔποτε φύλλα χαμαὶ πέσοι, οὐδ' ἀπόλοιτο·
Τοῖος ὅδ' ἀνὴρ ἔασεν, ἐπεὶ οἱ πάντ' ἀρετήσει,
Ὅ, τι κεν ἐρεύγοιτο, πολὺς δέ οἱ ἔψεται ὄλβος.
4 Οὐ τοῖοί ποτ' ἔασιν ἀτάσθαλοι· ὡς δὲ κονίη,
Ἣ ἄχνη, ἣν τρομέουσ' ἐύπνοος ἄλυς κατ' ἀλωάς
Ῥίμφα μάλ' ἔνθα κ' ἔνθα διεσκέδασε· ἶς ἀνέμοιο.
5 Τὼνεκ' ἄρ' οὐ στήσονται ἀτάσθαλοι εἰνὶ δίκῃσιν,
Οὔτέ ποτ' εἰν ἐθελῶν ἀγορῇ κακὰ μηχανόωντες.
6 Οὕνεκ' Ἄναξ γινώσκει ἐνὶ φρεσὶν ἔργα δικαίων·
Δυσσεβέων δ' ἀνδρῶν πᾶσαι ὁδοὶ ἔργα τ' ὀλεῖται.

Ψαλ. β'. 2.

1 Ἔθνεα πῇφ' ἕτα βρέμεται, ὁμαδέουσι δὲ λαοὶ,
Μάψ αὖτως ἀτέλεσον ἐνὶ φρεσὶν ἔργον ἔχοντες;
2 Σωὶ δ' ἔσαν κ' ἄγερθεν ὀπηδόνιοι βασιλῆες,
Καὶ συμφράδμονες ἧσαν ἀολλέες ὄχαμοι ἀνδρῶν·
Τῶνδέ θ' ὁμηγερέων πυκινὴ ἠρτύνετο βουλὴ
Ἀθανάτῳ αὐτῷ τε κάτα, Χεισοῖό θ' υἱοῖο.
3 Τῶνδέ τέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Εἶδ' ἄγετ' αὐτῷ δέσματ' ἀποῤῥήξωμεν ἕκαστος,
Καί λίν' ἀποῤῥίψωμεν ἀφ' ἡμέων τηλόθι μᾶλλον.

4 Καὶ τότε μὴ γελάσει, ὃς ἐν ὐρανῷ ὕψι καθίζει,
Τοῖς ἔπι κεν γελάσειεν Ἄναξ καὶ ἐφυβίσατο.
5 Ἔνθα καὶ αὐτοῖσιν κεχολωμένῳ ὧδ' ἀγοράσει,
Καί σφισιν ἄλγεα δώσει ὀπιζαφελῶς χαλεπαίνων,
Καί σφεας αἰνὰ ταράξει, ἐπεὶ χόλον ἔνθετο θυμῷ.
6 Ἀλλ' ἔμπης καὶ ἔγωγε Σιὼν ἐπ' ὄρεϊ καλῷ
Παναγίῳ μὰν ἄνακτα ἀθμήτερὲς ἐν θρόνῳ εἶσα,
Ἰδρύσας, ἵνα κεῖθι μάλ' ἔμπεδον ἐμβασιλεύῃ.
7 Ἀμφαδὰν ἀνθρώποισι θεοφροσύνῃ ἀναφαίνων,
Βυλὴν Ἀθανάτοιο δίξομαι, ὅς μοι ἔειπεν,
Υἱὸς μὶ σύ μοι ἐσσὶ, πατὴρ δέ τοι αὖχομαι εἶναι,
Σήμερον ὅς σ' ἔτεκον, σὺ φάος-δέ τε σήμερον ἦλθες.
8 Εὔχεό μοι σύ, καὶ αἴτει, ἐγὼ δέ τοι ἔθνεα δώσω,
Σοὶ κληρόν τ' ἔμμναι, κτῆσιν δέ τε πείρατα γαίης.
9 Τὺς ἢ σιδηρείῃ ῥάβδῳ ξυσσῆσί τε ῥήξεις,
Ῥαισῆσι κρατερῷ σείνων, συὼ τ' ἔθνε ἀράξεις,
Ὡς ὅτε πὶς κέραμον κορυφῇ ξυνέαξε βαρείῃ
Ῥιϊδίως, τὸ δέ τ' αἶψα ἀθρῦφὲν ἄγγος ὄλωλεν.
10 Ἀλλ' ἄγετ' ὦν βασιλῆες, ἰδὲ φράζεσθ' ἐνὶ θυμῷ·
Νῦν πέπυσθε καὶ ὔμμες, ἐπεὶ πεπύσθαι ἄμεινον,
Καὶ πεφυμμένοι ἐστὲ δικασπόλοι, ὔμμι ἢ μῆτις
Καὶ πινυτὴ φρένας ἴκοι, ὅσοις Θεὸς ἐγγυάλιξε
Σκῆπτρόν τ' ἠδὲ δέμισας ὅπι χθονὶ πολυβοτείρῃ.
11 Ἀθάνατον δ' ἄζεσθε, καὶ αἰδῶ δὲσθ' ἐνὶ θυμῷ
Γηθόσυνοι κραδίῃ, ἅμα ἢ τρόμος ὔμμε λάβῃσι.
12 Κύσατε δ' Υἱὸν, ἵν' ὔμμιν ἐνὶ φρεσὶν ἵλαος εἴη,
Μηδ' ἔο χωομένοιο ὁδὸς ἀπὸ πάμπαν ὄλοισθε·
Εἰ χόλος οἱ ὀλίγον περ ἐνὶ σήθεσσι δέδηεν,
Ὀλβιοι οἱ αὐτῷ γε πεποιθότες, ὅσσοι ἔασιν.

Ψαλ. γ'. 3.

1 Ὡς ἀνδρῶν πλῆθὺς μέγ' ὀφέλλεται, οἵ μ' ἐτάραξαν,
Ὡς μάλα μυρίοι εἰσὶ, ἐμεῦ ἀντίον οἵ περ ἀνέσαν.
2 Ὡς μάλα πολλοὶ ὅπι ψυχῇ ἐμῇ εὐχετόωνται·
Ὧδέ τέ πὶς εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,

Οἰώθη ὅδ' ἀνὴρ· Θεὸς ὃ οἱ ὀπιζόμενός ἐστιν,
Οὔτέ π οἱ ἐκ τῶδε κακῶν ἄκος, ὅτ' ἀλιτωρή.
3 Ἀλλὰ σύ, Ἀθάνατ', ἄασίς ἐμοί, ἠ χάρμα, ἠ εὐχωλή,
Ὅς κεφαλήν μοι ἄειρας, ἰδὲ κλέος ἐσθλὸν ὄπασσας.
4 Φωνῇ μὰν ἐβόησα, βοὴ δέ μὰν αἰθέρ' ἵκανε,
Πρὸς τ' Ἄνακτ' ἐβόησ', ὃ δέ μὰν βοόωντος ἄκουσεν
Οὔρεος ἐξ ἱερῆος, ἠ ἐκ ἀμέλησε λιτάων.
5 Κείμην ἀσφαλέως, καί με γλυκὺς ὕπνος ἔμαρψεν·
Αὖτε δ' ἀν-ηγέρθην, καί με γλυκὺς ὕπνος ἀνῆκεν.
Ὅτι μοι Ἀθάνατος παρά θ' ἵσατο, καί με φύλαξεν.
6 Εἰ ὧδέ τ' ἀμφὶ τ' ὄρεσσιν ἐμεῦ κάτα φῦλ' ἀνθρώπων,
Μυρίοι, ὅσσα τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ,
Οὐδ' ὥς μοι ταρβήσει ἐνὶ σήθεσι φίλον κῆρ.
7 Ἀθάνατ', ἄτλα Θεός μευ, ἄγ' ὄρσεο, καί με σάωσον·
Δυσμενέας μὰν πάντας ἐπεὶ σὺ γναθμὸν ἔτυψας,
Δυσσεβέων δ' ἀνδρῶν ὀλοὸς ξυέαξας ὀδόντας.
8 Οὕνεκ' ἀπ' Ἀθανάτοιο φόως· ὃ χάρ ἐστι σαωτήρ·
Λαοί σευ ἀρετῶσι φιλοφροσύνῃσι τεῇσι.

Ψαλ. δ'. 4.

1 Γουνοῦμαί σε Ἄναξ, σὺ δ' σιώθεο, καί μευ ἄκουσον,
Εὐνομίης ὃς ἐμῆς γε Θεὸς καὶ μάρτυρός ἐστι.
Οὕνεκ' ἀναίτιός εἰμι, καὶ ἐν φρεσὶν ἄσπετα εἰδώς·
Στεινόμυθόν μ' ἐσάωσας, ἵν' ἀγρυτέρην ὁδὸν ἔλθω,
Ἀμπνεύσω τε κακῶν, καὶ ὀϊζύος ἐκπελάσθωμαι·
Νῦν τ' ἐλέαιρε, Ἄναξ, ἵλαθί τε, κλῦθί τε φωνῆς,
Κλῦθί μευ ἀχομένοιο, καὶ ἐν φρεσὶ βάλλεο μῦθον.
2 Ὦ ἀνδρῶν γλυκὺ, πῶθ' ὅτῳ καὶ τέο μέλλει
Μὰψ αὔτως βάλλειν ἔμ' ἀπειλήσιν ἰάλλειν;
Σχέτλιοι, ἠδέ τ' ἐμῇ κεφαλῇ κατ' ὀνείδεα χεῦαι;
Ἕως πότε δ' ὔμμι φίλον, κενεὰ φρεσὶ μήδε' ὑφαίνειν,
Ψευδεά τ' ἀρτύνειν, ἀνεμώλιά τ' ἐρράζεσθαι;
3 Ἶσε δ' ὅτ' Ἀθάνατος ἢ ἀμύμονα λέξατο φῶτα,
Ὅς τε θεουδὴς ἦσι, καὶ οἱ κτέρας ἐξέλετ' αὐτῷ.
Τῷ καὶ ἐμεῦ βοόωντος ἀκήσει θεσφεσίῃ θυμῷ.

4 Ὑμέας δὲ τρόμος αἰνὸς ἔχοι, καὶ μήτις ἁμαρτεῖν
Τετλάτω, ἀλλ' αἰδεῖσθε, καὶ ἐν λέκτροισιν ἕκαστος
Ἦ, καὶ ἀλαλέξασθε κραδίῃ φρεσὶν, ἐστὲ δ' ἔκηλοι.
5 Ἔρδετε ἱερὰ καλὰ δικαιοσύνης ἐραείνης,
Θαρσαλέοι, πίσυνοί δ' ἱερῷ μύθῳ Ἀθανάτοιο.
6 Ὡς φάσαν οἱ πλῆθυς, Ἔθλον τίς ἂν ἄμμιν ὁρᾶσθαι
Δῶ; Σὺ δέ τ' ἄμμιν, Ἄναξ, λαμπρὸν σεῦ δεῖξον ὀπωπήν.
7 Ὣδ' ἔρξας μοι χάρμα μετὰ φρεσὶ μεῖζον ἔθηκας,
Καὶ μᾶλλόν μοι θυμὸν ἐὐφροσύνῃσιν ἴηνας,
Ἠέ περ ἀνθρώποισιν, ὅτε σφίσιν ἄσπετος ὄλβος,
Σῖτος ἀπειρέσιος, καὶ ἀθέσφατος οἶνος ἔηται.
8 Κείσομ' ὁμῶς σύκηλος, ἰὸν ὕπνον δῶρον ἐλεῖσθαι,
Οὕνεκ', Ἄναξ, σύ-γέ μοι σόον οἶκον ἔδωκας.

Ψαλ. ε'.

1 Σύνδεε, Ἄναξ, καὶ ἄκουσον, ἐμῆς δέ τε κέκλυθι φωνῆς,
Καὶ φρεσὶ σῇσι νόησον ἐμοῦ μελεδήματα θυμοῦ.
2 Κέκλυθί μευ φωνῆς, ὅς μοι Βασιλεύς τε Θεός τε
Εἷς, ὀλοφυρομένῳ, ἱκέτης δέ τοι εὔχομαι εἶναι.
3 Ἠῶθέν μοι, Ἄναξ, ὄπ' ἀκούσεαι εὐχομένοιο
Πρωΐ, πρωΐ δέ σοι χεῖράς τε καὶ ὄμματ' ἀνασχὼν
Εὐχωλὴν ἀναπέμψω ἅμ' ἠοῖ φαινομένῃφι.
4 Ὅτι σὺ γ' Θεὸς εἶς, ὃς κέτλια ἔργα φίλησας,
Οὐδ' ἄρ ἀπαθαλίη σοι ἄδε φρεσὶν, οὐδέ δ' ἁμαρτὰς
Οὐδέ δ' ὑπερφρίος σοι ἀνὴρ ἔσετ' αἴσυλα ῥέζων.
5 Οὐ σύ-γ' ἂν ὀφθαλμοῖσι καλίφρονας εἰσοράασθαι
Αντία τετλαίης· συγχεῖς δέ τε πάντας ἀλιτροὺς,
Οἳ κακὰ ἔργ' ἔρδουσιν ἀπαθαλίῃσι νόοιο.
6 Τοὺς δ' ὀλέσεις, οἷσιν φίλον ὄζῃ ψεύδεα βάζειν·
Ὠμηστὴς καὶ ἄπτος ἀνὴρ, ὅς δ' αἵματος ἄτῳ
Ἥδεται ὀλλὺς, ἐχθρός σοι, Ἄναξ, πέλει αἰπύ-περ ἐσσὶ.
7 Αὐτὰρ ἐγὼ σὸν ἂν οἶκον ἰκοίμεθα, σοῦ ἕνεκ' οἶκος,
(Λίσσω γὰρ μέγας ὄζῃ) ἐνηείης τ' ἐρατείνης·
Ἐς δ' ἱερὸν σὸν νηὸν ἐλεύσομαι, ἔνθα τ' ἔγωγε
Περπροκυλινδόμενός σ' αἰδέσσομαι, ἠδ' ἰκετεύσω.

8 Ἐς

8 Ἐς ἢ δίκλιν τρεῖόντι σύ μοι ὁδὸν ἡγεμόνευε,
Ἀθάνατ', ἀνομίης τε τεῆς μοι δεῖξον ἀταρπὸς,
Εἵνεκα δυσμενέων, μή πω σφιν ἐπόψιος εἶλιν·
Ἦδ' ἐμέθεν τρεπάρειθε τελὼ ἴδυνε κέλευθον.

9 Οὐ γὰ ἀληθείλω τις ἀνὰ στόμ' ἔχων ἀγορεύειν
Τῶν-δ' ἔθελ', ἠδέ τι πιτὰ λέγειν, μάλα δ' αἴσυλ' ἔκαστος
Μήδεται ἐν κραδίῃ, κακὰ ἢ φρεσὶ βυσσοδομεύει.
Ὡς δ' ὅτ' ἀναῤῥοιβδεῖν μεμαὼς τάφος ἀνδρὶ κέχηνεν,
Ὥς σφιν λαυκανίη ὀλοφωΐα πέλλ' ἀνιεῖσα,
Γλῶσσά τε ῥεῖα λόγοισι κεκασμένη αἰμυλίοισι
Κλέψε νόῳ, δολίοις τε παρήπαφεν ἀνέρα μύθοις.

10 Καδδέ, Θεὸς, δικάσῃς αὐτὴν, ὡς σφὰς ἀφ' βελὰς
Πρόχνυ κακῶς ἀπολοίατ', ἐπεὶ κακὰ πολλά τ' ἔρεξαν,
Αὐτούς τε συφέλιξον ἀθρεσίης ἕνεκα σφῆς·
Οὕνεκ' ἀπειλῦσαι σέθεν ἔτλαν, σοί τε μάχεσθαι.

11 Οἳ δ' ἄρα σοί-γε πεποίθασιν, κεχαρίσατο θυμῷ,
Σοί τ' ἐπαγαλλόμενοι φρεσὶ γηθήσειαν ἅπαντες
Νωλεμέως, ὅτι σύ σφιν ἀμυύων γεῖρ' ὑπερέχεις·
Σοὶ δέ τ' εὐφρανοίαθ', οἳ ἄνομα σὸν φιλέουσιν·

12 Ὅτι σὺ ἄνδρα δίκαιον, Ἄναξ, εὐδαίμονα θήσεις,
Καὶ χάεπ, σιβαρῷ σάκεϊ ὡς, ἀμφικαλύψεις.

Ψαλ. ϛ'. δ.

1 Μή μοι ὀπιπλήξειας, Ἄναξ, κεχοτημένῳ θυμῷ,
Μηδέ με πλήξειας ῥάβδῳ τεῇ, αἰνὰ χολωθείς.
2 Ἀλλ' ἐλέαιρε, Ἄναξ, ὅτι ἄ μοι ἶς ἐνὶ γυίοις,
Κεῖμ' ὀλιγοπλέων, καί μοι δέος ἐξαπόλωλεν·
Ἴασαί με, Ἄναξ, ὅτι ὀστέα μου ἐταράχθη·
3 Ἦδη μοι κὴ θυμὸς ἐνὶ σήθεσσιν ἀπύχθη·
Ἀλλὰ σὺ ἕως πότ', Ἄναξ, τόσον ἀπερχὲς μεμεαίνεις;
4 Στρέψον, Ἄναξ, ῥῦσαι ψυχήν μευ, καί με σάωσον,
Ῥῦσαι ἐνεκείης σῆς εἵνεκα μειλιχίης τε.
5 Οὐ γάρ τις μνήμη σέθεν ἐν θανάτοιό γε αἴσῃ
Γίνεται· ἐν ᾅδῃ τίς κεν τεὸν αἶνον ἀείδοι;
6 Πυκνὰ μάλα στενάχων ἔκαμον, κατέδευσα ἢ λέκτρον

Κλαίων

Κλαίων παννύχιος, τονόεσσα δέ μοι πέλεν ἠὼς,
Αἰεὶ δάκρυσ' ἐμοῖσι πεφυρμένη, ἠδὲ ξέεσκε.
7 Κνύζωσεν δέ μοι ὄμματ' ἀνίη θυμὸν ἔδυσα,
Πένθεϊ τ' ἀλληκτῳ τά μοι ἐφθιαδ', ὥστε γέροντι,
Οὕτε κε ἀμβλύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε,
Τόσσοι μοι ἐπόρουσαν ἐναντίοι, οἵ μ' ἐτάραξαν.
8 Ἔξετέ μευ ἄπο πάντες, ὅσοι κακὰ μηχανάασθε,
Σχέτλιοι, ὕνεκ' Ἄναξ ὄπα μευ κλαίοντος ἄκουσεν.
9 Ἔκλυέ μευ φωνεῦντος Ἄναξ, κε ἄκουσε λιτάων,
Εὐχωλήν μευ Ἄναξ ἀπεδέξατο σεῖο θυμῷ.
10 Οἵ ἐμ' ἀπεχθαίρουσι, κατησχυνόαντο πάντες,
Πολλὸν ἀπυζόμενοι, μή ἧ ὄφρ' ἐθέλειν ὀπάων,
Καὶ ἐλέτην σφέας αὖθι κατηφείη τε κε αἰδώς.

Ψαλ. ζ'. 7.

1 Σοὶ ἔπι ἔλπομαι, Ἄναξ ὁ Θεός μευ, σοί τε πέποιθα
Μένῳ ὦν ἐκ πάντων σύ με ἕῦσαι ἠδὲ σάωσον,
Οἵ με διώκουσι, κλονέουσί τε νηλέϊ θυμῷ.
2 Μή με ἁρπάσειε λέων ὡς ἀλκὶ πεποιθὼς
Πάσσῃ ἁρπάξῃ, μελιηδέα θυμὸν ἀπόρας,
Πὰρ δ' ἔπος τ' ἔπαρσον, ἐμοὶ δὲ κῆρας ἀμῦναι.
3 Εἴ ποτέ μοι τόδ', Ἄναξ ὁ Θεός μευ, ἔργον ἐτύχθη,
Εἴ ποτ' ἀτάσθαλ' ἔρεξα βίῃ κε χερσὶν ἐμῇσιν·
4 Εἰ κακὸν ἀντιπέδωκα, ἀπέπροά τε, ὅστις ἔωπει,
Ἦ εἰ ἀρχαλέης χαλεπῶν ἐπέδησά τ' ἀμοιβῶν·
Εἰ τόν-γ', ὅς μ' ἤχθηρεν ἀναίτιον, εἵματ' ἀπύρων,
Συλήσας, αὐτὸν ἧ κακὸς ἐ μᾶλλον ἔλυσα·
5 Ψυχήν μευ ζωὴν τε διώκοι δήϊος ἀνὴρ,
Καί μιν ἕλοι, μάρψαι τε, χέοι δέ μευ αἶμα χαμᾶζε,
Κῦδός ἐμὸν τε κε ἀγλαΐην κονίῃσι μιήναι.
6 Ὄρσεο, Ἄναξ, μηνέαινε, κε ἔγρεο, μηδέ τ' ἐράσσῃ,
Καὶ χόλον ἔνθεο θυμῷ ἐοικότα, ὅς ἔρεξαν
Δυσμενέες μευ, ἐπεὶ κρατερὴ σφέας λύσατο δέδυκε·
Τὴν δὲ δίκην ἀνέγειρέ μευ εἵνεκα, ἣ ἐπέτελλες.
7 Καί γύ κε μυσία φῦλά σε κυκλωσαίατο φαντῶν,

Πάντη

Πάντη ἀγειρόμενοι· τὴν δ' εἶνεκεν ὑψόσ' ἀερθεὶς
Σὸν θρόνον εἰσανάβαιν', ἵνα τοι θέμις ὄζει καθίζειν.
8 Τῷ σύ, Ἄναξ, ὃς πᾶσι δικαιότατος ἐσσὶ βροτοῖσι,
Καὶ νῶϊ εἵνεκ' ἐμεῖο δίκλιν ἰθύτατα εἶπης,
Καὶ δὲ δικαιοσύλλου μευ, ἀμύμονά τ' ἔργα δικάσῃς.
9 Οὐκ ἀρετᾷ κακὰ ἔργα, κιχάνει πότμος ἁλιτῆός·
Οἵ τ' αὐτοὶ νῶϊ σφῆσιν ἀταθαλίῃσιν ὀλεῦνται.
Καί νύ κεν ἰδρύσειας ὅπι χθονὶ φῦλα δικαίων·
Ὅπλι δίκαιος Ἄναξ κραδίλιν νεφρούς τε μεταλλᾷ,
Καὶ μελεδήματ' ἐρευνᾷ, ἅ τις φρεσὶ βυσσοδομεύει.
10 Ἀσπὶς κὴ ἔρυμ' ὄζιν ἐμὸν Θεὸς, ὅς τε φυλάσσει
Ἀνέρας εὐσεβέας, κὴ ἀμύμονα θυμὸν ἔχοντας.
11 Ἦ ῥα Θεὸς μὴ πᾶσι δίκλιν ἰθύτατα εἶπεν·
Ὅς τε κατ' ἦμαρ ὀδώδυξαι, ὀρόων κακὰ ἔργα.
12 Εἰ ὃ μεταφέψαι ὐκ ἤθελ' ἀταθαλος ἀνὴρ,
Αὐτὸς ἔθηξεν ἄορ, τανύσας δ' ὃν ἐτοίμασε τόξον.
13 Τῷ δ' ἔπι χωόμενος θανατηφόρα τεῦξε βέλεμνα·
Οἵ τ' ἄλλως πρύχνοι βίη κὴ κάρτεϊ χθρῶν,
Τοῖς ἐφ' ἓν ἅπλιασε τανυγλώχινας ὀϊστούς.
14 Τλιὴ μὲ ἀταθαλίῃ φορέει ἐγκύμονι θυμῷ
Ὠδίνων, ἄτλιν σιὸ τ' ἔλλαβε κἤει βαρεῖαν,
Τλιὴ ὃ κακὴν ἀπάτλιν ἄαγε πεσφόως δὲ κὴ ὕβειν.
15 Ὅς κὴ ἐπεὶ κάπετον ποίησε βαθεῖαν ὀρύξας,
Ἧν αὐτὸς ποίησεν ὀρυκτῇ ἔμπεσε τάφρῃ.
16 Ὡς ὄγε νηπιέῃσιν ὀπάσσασον κακὸν ἕξει·
Αὐτὸν κακκορυφὴς μὲν ὑπόστροπος ἵξεται οἶτος,
Ἄλλοις ὄνωρ ἔτευξ', ᾧ τ' αὐτῷ κράατι πίσει
Ἧν ὕβειν τε βίλν τε, κὴ ἣ κεφαλὴ ἀναμάξει.
17 Ὑμνήσω ϟ Ἄγακτα δίκης ἔνεχ', ἣ ἐπέοικεν,
Ὑψίστοιό τ' Ἄνακτος ἀεὶ κλυτὸν ὄνομ' ἀείσω.

Ψαλ. ν'. Δ.

1 Ὦ Πανυπέρτατ' Ἄναξ, ὃς Ἄναξ δέ τε ἄμμι τέτυξαι,
Οἷόν σευ κλυτὸν ὄνομ' ἀνὰ χθόνα πᾶσαν ἀγητὸν,
Ὅς δέ τε κῦδός σευ ὑπὲρ οὐρανὸν εὐρὺν ἔθηκας.

2 Νήπιοι

2 Νήπιοι ἀπεβλυεῖς, οἱ ἐπ πνείμασι τόκοιο,
Οἱ δ' ὑποπτήσσοι εἰσι, κ) ἐν κόλποισι πεδίλης,
Τυτθοῖσι σομάτεσσι τεὸν κράτος ὑμνήσεσι,
Σῆς ὑποθημοσυνῆσι, σὺ γὰρ σφισιν ἔμβαλες οἴμας,
Εἵνεκα σῶν ἐχθρῶν, ἵνα τ' ἄνδρας δυσμενέοντας,
Οἵ τ' ἄλλυς σίνονται ἀμειλιχόμυθοί σφισιν αὐτοῖς,
Τρεῖσ' ὐλομένης παύσεις, ἔργων τε βιαίων.

3 Οὐρανὸν ὡς ἐνόησα, τεῶν ἔργον παλαμάων,
Ἀγλαὸν, εἰσαΐδων, σοὶ δάκτυλοι ὄνωρ ἔτευξαν,
Ἄστρά τε λαμπετόωντα, σελήνιόν τε πλήθυσαν,
Ἠδὲ τὰ τείρεα πάντα, τά τ' ὐρανὸς ἐσεφάνωται,
Θαῦμα ἰδεῖν, ἃ σὺ πάντα σοφῇ τεκτήναο βυλῇ.

4 Ἄνθρωπος τί ποτ' ὄζιν, ἐπεὶ μιμνήσκεαι αὐτῦ;
Ἢ πάϊς ἀνθρώπυ, αὐτῦ ὅτ' ὀπίσσοπός ἐσσι;

5 Τυτθὸν ἐλεύσας, ὀλίγυ δέ μιν ἴσον ἔθηκας
Οὐρανίοισι Νόεσσι, σοὶ ἄγγελοι οἵωνες ἔασι,
Τοῖς ὀλίγυ μιν τ' ἶσον, ἰδ' ὐ πολὺ μείονα θῆκας,
Κύδεί τ' ἀγλαΐῃ τε σῷ κράτ' ἐσεφάνωσας.

6 Πάντων μιν κρατέων ἔθελες, πάντεσσι δ' ἀνάσσειν,
Πᾶσι ἢ σημαίνειν, ὅσα χερσὶ τεῇσιν ἔτευξας,
Καὶ σύγε ταῦτα φέρων ὑπὸ ποσσὶν ἔοῖσιν ἔθηκας·

7 Πάντα μάλ', εἰρεπόκες τ' ὄϊες, κ) βῶς ἀγελαίας,
Θῆράς τ' ἀγροτῆρας, οἵπερ τ' ἐν ὄρεσι νέμονται·

8 Τοῖσι δ' ἅμ' ὀρνίθων πετεηνῶν ἔθνεα πάντα,
Αἳ περύουσι ποτῶνται ὑπ' αἰθέι κ) νεφέλῃσιν·
Ἰχθῦς τ' αὖ, νεπόδων τε γλύφ', κ) κνώδαλα πάντα,
Ὅσσα διαπρήσουσιν ἁλὸς πολιοῖο κελεύθοις.

9 Ὦ πανυπέρτατ' Ἄναξ, ὃς Ἄναξ δέ τε ἄμμι τέτυξαι,
Οἷόν σευ κλυτὸν ὄνομ' ἀνὰ χθόνα πᾶσαν ἀγητόν.

Ψαλ. θ'. 9.

1 Αἰνήσω σε, Ἄναξ, κ) ἀείσω κηρόθι μᾶλλον,
Πάντα ὃ θαύματά σευ καταλέξω μέρμερά τ' ἔργα.
2 Χαιρήσω σοὶ ἀγαλλόμεν' κ) ἐπαγλαϊεῦμαι·
Καὶ τεὸν ὄνομ' ἀείσω, Ἄναξ ὕπατε κρειόντων.

3 Ὁππότε

3 Ὀππότε δυσμενέες μευ ἀποστρέψαντες ὀπίσσω
Χάσσονται, σεῖο προπάροιθε πεσόντες ὀλεῦνται.
4 Ὅτι σὺ, νίκην ἔμοιγε μὴ σφίσι νείκος ὄρωρε,
Τόφρα σωήγορος ἧσαι, καὶ ἐν δίκῃ ἦλθες ἀμείπτωρ·
Ἐν ϑρόνῳ ἐκάθησο ϑεμισοπόλων ὄχ' ἄειστος,
Ἐν δικαζομένοισι δίκλιν ἰθύτατα εἶπες.
5 Ἔθνεα δ' συφέλιξας, ἀεικέα πότμον ἐφῆκας
Αἰνὸν ἀλείτῃσιν, σβεσσε δ' ὄνομα φῆμιν ὀπίσσω
Κάλλιπες, οὐδ' ὄνομα, σέβασας δέ τε νωλεμὲς αἰεί.
6 Ἐχθρὲ, κακὴ κεφαλὴ, νῦν μὴ σῶς αἰπὺς ὄλεθρος,
Ἦ δὴ λοίγια ἔργα δαμπερὲς ἐκτετέλεσαι,
Πάντα δ' ἔθηκας ἔρημα, πόλεις δέ τε ἐξαλάπαξας,
Τάων δ' ὅ τις μνήμη ἐν ἀνθρώποισι λέλειπται,
Νώνυμοι δέ τ' ἔασι, καὶ ἀκλειῶς ἀπόλοντο.
7 Αὐτὰρ Ἄναξ ὕψιστος ἔχων ἕδος ἀσφαλὲς αἰεὶ
Ἄλλυδιν μνέει· ϑέτο δ' οἱ ϑρόνον, ἔνθα δικάσῃ.
8 Λαοὺς κεν δικάσειεν ἐπ' ἰθείῃσι δίκῃσιν,
Ὅσσοι ναετάουσιν ὀπὶ χθονὶ πυκνοτείρῃ·
Πὰρ δέ σφ' εὐνομίῃ ὁσίας κρίνειε ϑέμιστας.
9 Ἔσσεται Ἀθάνατος καὶ τειρομένοισιν ἀρωγὸς,
Ἄντεος ἠδὲ βίης ἀλεωρὴ ἀνδρὶ πενιχρῷ,
Ἦν καδδὺς σόος ἦσι, καὶ ἀσφαλὲς εἰλαρ ἐν ὥρῃ,
Ὥρῃ ἐν ἀργαλέῃ, ὅτ' ὀϊζύος ἦμαρ ἱκάνῃ.
10 Σοὶ δέ τε ϑαρσήσουσιν, ὅσοι τεὸν οὔνομ' ἴσασιν·
Οὐ γὰρ, Ἄναξ, αὐτούς ποτε κάλλιπες, οἵ σε μάτευς.
11 Ὑμνεῖτ' Ἀθάνατον ναετῆρα Σιῶνος ἐραννῆς,
Καὶ ἀνὰ λαὸν ἅπαντ' ἀγγέλλετε οἷά τ' ἔρεξεν.
12 Ὁππότ' ἀνείρηται ϑοὶ αἵματος ἠδὲ φόνοιο,
Ἐν δίκῃ ἀντιάσας, μάλα κεν μεμνέῳτο πενιχρῶν,
Οὐδὲ βοὸς λελάθοιτο βιαζομένων ἀνθρώπων.
13 Ἀλλά μ', Ἄναξ, ἐλέαιρε, καὶ εἰσιδέ μ', οἷα πέπονθα,
Οἷά τ' ἐφυβρίσθην ἀνδρῶν πάρα δυσμενεόντων,
Πέφρων ὅς μ' ἀνάειρας ὑπ' ἐκ ϑανάτοιο πυλάων.
14 Ἀμφαδὸν ὡς κλέος ἀρῶ καὶ αἶνόν σευ κατὰ λέξω
Πάντας μάλ' εἰν πύλῃσιν ὅϑι ξυνίασι πολῖται,

Μνεία

Μυεία φῦλα Σιῶν, ὁμηγερέες τε γίνονται·
Χαιρήσω οἷς σὺ φόως ἐμοὶ ἐσσι κὴ ἄλκαρ.
15 Καδδ' ἐς βάθρον ἔβαν δύσοντό τε ἔθνεα φωτῶν,
Σχέτλιοι, ὅν τε κὴ αὐτοὶ ὅμως ἄλλοισιν ὄρυξαν·
Καὶ σφέτερον πόδα μάρψε λίνον, τὸ κρύβδα πέτασαν.
16 Ῥεῖα δ' ἀείγνωτος πέλεται Θεὸς, οἷα δικάζει,
Αἴσιμα πυνύμενος κακοεργέος· ἢ γὰρ ἀλιτρὸς
Ἐμπλέκεται ἔργοισιν, ἃ χερσὶν ἑῇσιν ἔρεξεν,
Ὡς εἰ ὑλομήοιο λίνῳ ἀμφῖσιν ἀλφήν.
17 Τάρταρον ἐς ζοφόεντα μεταστρεφθεῖεν ἀλεῖται,
Λαοί τε ξύμπαντες οἳ ἐκλελάθοντο Θεοῖο.
18 Οὐ γὰρ ἀεὶ πτωχῶν λήθῃ ἀκομισίη τε
Ἔσεται· οὐδέ τι πάγχυ πενιχρῶν ἐλπὶς ὀλεῖται.
19 Ὄρσευ, Ἄναξ, μηδ' ἄνδρες ὑπέρτερον σθένος ἄρηνται·
Ἐθνειά σευ φρεσπάρειτε δίκην δριμεῖα κιχάνοι.
20 Τοῖσι δ' ἐνὶ φρεσὶ τάρβος, Ἄναξ, θέο, ὄφρ' εἰδῶσιν
Ἔθνε', ὅτ' ἀνδρομέης γυνεῆς τε κὴ αἵματός εἰσι.

Ψαλ. ί'. 10.

1 Τίφθ' ἑκὰς ἵστασ', Ἄναξ; τί δ' ὀϊζύος ἤματι λυγρῷ,
Ὥρῃ τ' ἀρχαλέῃ ἔλαθες τόσον, ἠδὲ φαάνθης;
2 Ὅσσον ἀλιτρὸς ἔῃ, κεχρημένον ἄνδρα διώκει,
Δίκης, ὑφείζων, ὑπερπλήσῃ νόοιο·
Σφῆσι κακοξεφίῃσιν ἀτάσθαλοι ἄνδρες ἁλῶσιν.
3 Πολλὰ γὰρ εὔχεται ἀλιτρὸς, ἐνὶ φρεσὶν εἷα μνωομένῳ·
Κερδαλεόφρων δ' εὐλίεται Θεὸν, οὐδ' ἐρεθίζει.
4 Οὐκ ἀλέγει φρεσὶν ἧπαρ Θεὸν κακομήχανος ἀνὴρ,
Ὡς ὑπερήφανός ἐστι, Θεὸν δ' ἔμμεν οὔποτ' ὀΐεται.
5 Τοῦ δέ τε ἔργ' αἰεὶ δυσαλγέα, λυγρά τ' ἔασιν·
Τῆλε δ' ὑπερθὲν ἀπ' ὀφθαλμῶν τοὶ θέσφατ' ἔθηκεν,
Οὔτ' ἴδεν, οὔτ' ἐνόησ'· ἀνδρῶν δ' ἄρα δυσμενέόντων,
Ὅσσοι ἔασιν, οὐδ' ὅτι μετατρέπετ' οὐδ' ἀλεγίζει.
6 Γνῶσαι δ' ἄρα εἶπε σφὸς ὃν μεγαλήτορα θυμὸν,
Οὔ νύ μοι ἐσυφελίχθαι ὀπὴ δέος· οὔτε γὰρ αἰεὶ
Σῶς ἔσομ', ἤματα πάντα, κὴ οὔποτέ μ' ἴξεται ὀϊζύς.

7 Πλῆτο

7 Πλῆτο δέ οἱ ἀρῆς στόμα, καὶ δόλε, ἠδ' ἀπατάων·
Καί οἱ ὑπὸ γλώσσῃ ἄτη ματίη τε πέλονται.
8 Χρύβδην εἰν ἀγυιῆσι καὶ ἐν κυθμῶσι καθῆσο·
Κτύπεσιν ἐν σκοτίοισιν ἀναίτιον ἄνδρα κατέκτα·
Λάθρα δ' ὅπη πλωχὸν δολερὰς ἐλέλιξεν ὀπωπάς.
9 Κρυπτάδιον λόχον εἶσε λέων ὡς ἢ ἐνὶ λόχμῃ·
Ἧσαι δ' ὡς λοχόων ἵνα δ' ἁρπάσῃ ἄνδρα πενιχρὸν,
Ἥρπασεν ἄνδρα πενιχρὸν, ἐς ὃν λίνον ὅππότ' ἔρυσεν.
10 Ἧσο δ' ἀλείς, κύψεν τε δολοφρονέων, πυτὶ γαίῃ
Ἀγκλίνας, μικρός τε καὶ ἀπδανός δ' ὅατ' ἔῃ)
Κερδοσύνῃ, μέγας ὤν, λοχόων ἵνα ῥεῖα λάθῃσιν,
Ὑβρι ἐξ ὀλοῆς, πλωχῶν δέ τε πτολὺς ὅμιλ
Οἷς κρατερῆσιν ὀδοῦσιν ἔλωρ καὶ κύρμα γένηται.
11 Τῶν ὃ Θεὸν λελαθέσθαι ὅμως ἔφαθ' ᾧ ἐνὶ θυμῷ,
Οὐδέ ποτ' ὄψεσθαι, ἐπεὶ λῶ ἀπέτρεψεν ὀπωπώ.
12 Ἀλλὰ σὺ, Ἀθάνατ', ὄρσο, τεὴν δέ τε χεῖρ' ἀνάειρε·
Μηδὲ βιαζομένων φρεσὶν ἐκλελάθοιο πενιχρῶν.
13 Τίπτε Θεὸν τ' ἀθεΐζει ἀτάσθαλ·, ἠδ' ἐρεθίζει;
Ὃν κῆ θυμὸν ἔειπε, Σὺ δ' οὐκ ἂν τοῦτ' ἐρεείνοις.
14 Ἀλλ' ἴδες· ἄτλω γὸ καὶ ὑπέρβιον ὕβριν ὀπωπας,
Χερσὶν ἀμείψασθαι, ἵνα τ' ἄμπτα ἔργα γένοιτο.
Σοὶ δ' ἔε τ' αὐτὸν ἐπέτρεψεν κεχρημέν ἀνῆρ,
Παιδὸς ὅ, τ' ὀρφανικοῖο φύλαξ καὶ ὑπερδόος ἐσσι.
15 Ἰν', ἀμυνήνωσόν τε, βραχίονά τ' ἄξον ἀλείτεω,
Καὶ κακομηχάνε ἀνδρός· εἶμὶ δέ τε ὕβριν ὀπάσω,
Ἣν δέ τ' ἀταθαλίῃ διζήμεν, οὐκ ἂν ἐφεύρῃς.
16 Ἄρχει ὁ Ἀθάνα, Βασιλεὺς ὅδε νωλεμὲς αἰεί·
Πεύχνυ κακῶς ἀπόλωλεν ἔθνεα γαίης.
17 Σὺ κρήηνας, Ἄναξ, ὑβριζομένοισιν ἐέλδωρ
Ἀνδράσι, καὶ τόσ' ἔδωκας ὅσων σφέας ἵμερ ἤρει,
Ἴλα· ὡς κεν σύ σφιν ἑτοιμάσαιο μενοινὴν,
Καὶ κραδίην, ἵνα τοι καταδύμον εὐχομένοισι
Καννεάων τελέσῃς, καὶ ὠφέλων τῶνδ' ἐπακούσῃς·
18 Παιδός τ' ὀρφανικοῖο δίκην, πτωχοῖό τ' ἔρυσαι
Τειρομένω, ἵνα τ' ἄνδρες ὀπιχθόνια φρονέοντες,

Τρῶκ), μηκέτι πάγχυ βίη κὴ κάρτεϊ χειρῶν
Ἄλλυς ὡς σίνωγ), ἀτάθαλον ὕβριν ἔχοντες.

Ψαλ. ια'. 11.

1 Ἀθανάτῳ θάρσησα, πέποιθά τε πᾶσαν ἐπ' ἰθυ·
Τίπτ' ἂν κερτομέοντες ἐμὸν κραδαείπετε θυμόν,
Εἰς ὄρος ὡς ὄρνις πλάμυγ φοβῦ' ὀτλιτάλασα;
2 Ἦ γὰρ ἀτάθαλοι ἄνδρες ἐὸν βιὸν ἐκτανύσαντο,
Νευρὴν μὺν μαζῷ πέλασαν, τόξῳ δὲ σίδηρον·
Ἀνέρας ὄφρα βάλωσιν ἀμύμονα θυμὸν ἔχοντας.
Λάθρη ἀναΐξοισι πιπυσκόμμοι βελέεσσιν.
3 Εἶγε καθεξεύδοντα θεμείλια νέρθεν ὄλοντο,
Καὶ λύθεν ἔρματα πάντα, τί κεν ῥέξειε δίκαιος;
4 Ὦ ἐνὶ νηῷ Ἄναξ, ὅθι οἱ ἕδος ἱερὸν αἰεί,
Αὐτός τε θρόνος ὄζεν ἐν οὐρανῷ ἀστερόεντι·
Ὀφθαλμοῖσιν ὁρᾷ βλεφάροισί τε φῦλ' ἀνθρώπων,
Παπταίνων ἐφ' ἕκαστον ὁρᾷ, ἔο πειρητίζων·
5 Ὅς γε δίκαιος ἔησιν, Ἄναξ ἔο πειρητίζει·
Ὃ δ' ὕβριν τε βίην τε κὴ αἴσυλα ἔργα μεμήλη,
Τόν γε μάλ' ἐχθαίρει, συγέει δέ τε ᾧ ἐνὶ θυμῷ·
6 Ἦ κ' ἐπ' ἀλιτροῖσιν παγίδας, πῦρ, θεῖόν θε
Κακχεύαι, κακὸν ὄμβρον ὁμῦ, δεινλή τε θύελλαν·
Ἦ μοῖρ' ὑπανόθεν κραδίης αἶσα τέτυκτ),
Ὡς εἴ σφιν πέσειν ταῦθ' ἐνὶ κρητῆρι μιγείη.
7 Ὅτι δίκαιος Ἄναξ φιλέῖ αἴσιμα ἔργα δίκαιά τε·
Καὶ ἐπ' ἀμύμονα φῶτα ἑκὼν τρέπει ὄσσε φαεινώ.

Ψαλ. ιβ'. 12.

1 Ἔγρεο λίσσομ', Ἄναξ, ἄμμιν δ' ὀπιτάρροθος ἐλθέ,
Εὐσεβέες γὰρ παῦροι ἐνὶ μερόπεσσι βεβᾶσι,
Καὶ μινύθουσι δίκαιοι ἐν ἀνδράσιν· ἦ μὺν ὄλοντο,
Ὅσσοι ἄεισοι ἔσαν, τὰ δ' ἐλέγχεα πάντα λέλειπται.
2 Ψεῦσαι, κερδαλέοι τε, δολορραφίῃσιν ἄεισοι,
Ἠδὲ φρύδεα πολλὰ λέγειν ἐπίμοισιν ὁμοῖα,
Ὡς αἰεὶ μαλακοῖσι κὴ αἱμυλίοισι λόγοισι

Θέλγω-

Θέλγησ' ἀλλήλους. δίδυμον δέ τε ἦτορ ἔχοντες
Ἔθλ' ἀγορεύουσιν, κακὰ δ' φρονέουσιν ὀπάσω.
3 Αἱμύλα χείλε' Ἄναξ κεν ἀποθρώξειεν ἅπαντα,
Γλῶσσαν ὑπερφιάλων τε, μέγ' εὐχομένων τ' ἀνδρώπων.
4 Οἳ δ' ὑπέρφλον ἔειπον ἀγλωσσείῃσι νόοιο,
Γλῶσσά κεν ἡμετέρη ἡμῖν μέγα κῦδος ἄρηται,
Χείλε' ἐφ' ἡμῖν ὄζει, λόγων εὖ εἰδόσι πάντων·
Τίς δ' ἡμῖν τὸν μῦθον ὀνόσεται, ἄμμι τ' ἀνάξει;
7 Ἀλλ' ὑβριζομένων ἕνεκ' ἄτης ἠδὲ πενιχρῶν,
Πτωχῶν τε σοναχῆς, νῦ ὀΐζυος εἵνεκα λυγρῆς,
Ἀνσὰς ἐμμαπέως κεχεημένον ἄνδρα σαώσω
Ἐκ χερὸς ὑβριστέω, ἠδ' ἐκ παλίδρομος σονοέσσης·
Ὣς ἔφατ' Ἀθάνατος, τῷ δ' ἄπτερος ἕπλετο μῦθος.
6 Ἀγνὸν ἔπεα ξύμπαντα πέλει ἔπε' Ἀθανάτοιο,
Καὶ καθαρὸν ἄργυρος ὡς κεκαθαρμένος εἰνὶ καμίνῳ,
Ἑπτάκις ὃς κεκάθαρται ἐνὶ ζηπτοῖς χοάνοισι.
7 Τέσ-δε σὺ φοφφρονέως, Ἄναξ, ῥύσεαι ἠδὲ σαώσεις,
Ἐκ τε κακῆς, γλωσσῆς τ' αἰεὶ ἀπὸ τῆσδε φυλάξεις.
8 Ἀμφὶ φοὶ σιχόωνται ὁμιλαδὸν ἄνδρες ἀλῆται,
Ὅφρα λελόγχασι κῦδος ἀπημότατοι φρὶν ἐόντες
Πάντων ἀνδρώπων, ἀσύφηλοί δ' ὣς μετανάσαι.

Ψαλ. ιγ'. 13.

1 Ἕως πότ' ἐμεῖο, Ἄναξ, ὀπλίσσεαι ἐμμενὲς αἰεί;
Ἕως τ' ἀγανὸν τέο μέχεις ἐμεῦ ἄπο νόσφιν ὄπωπὴν
Κρύψεις νωλεμέως, ἐμὲ δ' ἐκέτ' ἐσόψεαι αὖθις;
2 Ἕως πότε μερμηρίξω ἐνὶ φρεσὶ κήδεα πέσσων,
Ἤματά τ' ἀχαλόων, πυκινῶς ἀπαχήμενος ἦτορ;
Ἐχθρός μοι τέο μέχεις ἐπεύξεται ἀγλωσσει θυμῷ;
3 Σεύθεο καί μευ ἄκουσον, Ἄναξ, Θεὸς ὅς τέ μοι ἐσσι
Ἀχλὺν ὑπὸ σκέδασον, νῦ δός φάος ὀφθαλμοῖσι,
Μή μ' ἄλλος θανάτοιο μέλαν νέφος ἀμφικαλύψῃ,
Ἔνθα τε κοιμήσωμαι ὑπὸ χθονὶ χάλκεον ὕπνον·
4 Ἐχθρὸς μήποτε φήμη ἐμοὶ ἔπι κῦδος ἀρέσθαι·
Δυσμενέες δέ τ' ἐπευχόμενοι κεχαρήατο θυμῷ,

Ἦν εἰπὼν ποτε ποσὶ κακῷ ὅτι πάμπαν κύρσω·
5 Αὐτὰρ ἐγὼν ἐλέῳ σοῦ ἐνιείη τε πέποιθα·
Σόν τε φάος κ' ἐμὸν ἦτορ ἐὐφροσυώνησιν ἰαίνοι.
6 Μέλψω Ἀναχθ', ὅτι με φερέφρων τοσσοῦτον ὄνησε,
Τοσσοῦτόν μ' ὤνησε φίλῳ, τόσα τ' ἐσθλὰ ἔοργε.

Ψαλ. ιδ'. 14.

1 Οὐκ ἔμεναι Θεὸν εἶπε χαλίφρων ὃν κῆρ θυμόν·
Ἐφθίατο φρεσὶ πάγχυ, νόος δ' ἀπόλωλε καὶ αἰδώς·
Ἦ μάλα λύγρα ἔργα καὶ οὐκ ὀνομαστὰ τέλεσσαν,
Οὐδέ πις εἰνὶ βεοτοῖσι πέλει, ὅς τ' αἴσιμα ῥέζει.
2 Ἐκ δεόνυ ἔνθα κάδιζ' ἱερὴ ἶς Ἀθανάτοιο,
Οὐρανόθεν καθορᾶτο ἰδὼν ὅτι φυλ' ἀνθρώπων,
Εἴ πις πυ πέπνυτο, καὶ οἱ νόος ἦε δεδαής.
3 Πάντες δ' ἐξέκλιναν, ὁδὸν ἅπο πάντες ἅμαρτον,
Πάντες ἅμ' ἀχρεῖοι, καὶ σφέων ὀλοώτατος ὁδμή·
Οὐκ ἔνι κακ' ἐργάζοντ', ἐπεὶ οὐδ' εἷς αἴσιμα ῥέζει.
4 Οὐδέ π πω ἴασιν ὅσοι κακὰ μηχανόωνται;
Οὐδέ π γινώσκουσι, νόον δ' ἀποφώλιοί εἰσιν;
Οἳ δέ τε λαὸν ἐμὸν κατέδουσιν ἀπηνέϊ θυμῷ,
Ὡς κατά τ' ἄρτον ἔδουσιν, ὅτε σφέας λιμὸς ἱκάνῃ,
Σχέτλιοι, οὐδὲ Θεὸν λιτανεύουσ' αἴεν ἐόντα.
5 Ἔνθα μάλ' ἐτρόμεον καὶ ἐδείδισαν ἐν φρεσὶν αἰνῶς,
Οὕνεκ' ἐν ἀνθρώπων γενεῇ Θεός ἐστι δικαίων.
6 Πτωχῶν λωβήσασθε νόον καὶ βάπτεσθε βουλάς,
Ὅτι Θεὸν σφίσιν ἔρμα, καὶ ἄασετον εἴλαρ ἔδεντο.
7 Ὡς ὤφελλε φόως Ἰσραήλοιο καὶ ἅλκαρ
Ἐλθέμεν ἐκ Σιῶνος Ἀναξ ἐὸν ὁππότε λαὸν
Εἰρέρυ ἐξανάγησι κακῆς, τότε κεν τ' Ἰακώβου
Γηθήσαι γένεη, Ἰσραήλοιό τε παῖδες,
Πάντες τ' Ἰσακίδαι μέγα κεν κεχαροίατο θυμῷ.

Ψαλ. ιε'. 15.

1 Ὦ Πάτερ, ὦ Βασιλεῦ, ὃς ὑπέρτατα δώματα ναίεις,
Τίς μετὰ σεῦ ἕδος ἕξει, ὑπωρόφιός τέ τοι ἔσαι;

Σὴ

Σῇ τίς ἐνὶ κλισίῃ; τίς ἐν ὄρεϊ σῷ ἐρατεινῷ
Ἱερῷ ἐννάετης, ἵνα τ' ἔμπεδον αὖθι μιμνῇσιν;
2 Ὅς κεν ἀμύμων αὐτὸς ἔῃ, καὶ ἀμύμονα εἰδῇ,
Ὧ τε δίκη φίλη ἔζει, καὶ ἄσιμα ἔργα μέμηλεν·
Ὅς δέ τ' ἀληθέα μῦθον ἀπὸ κραδίης ἀναφαίνει,
Οὐδ' ἕτερον μιν κερθεῖ ἐνὶ φρεσὶν, ἄλλο δ' βάζει·
3 Οὐδέ π κερτομίαις καὶ ἐλέγχεα λάθρ' ἀγορεύει,
Οὔτέ τῳ ἧν κακὰ ἔργα ἀταθαλίῃσι νόοιο,
Οὔτέ πνα συγγενῆσιν ὀνείδεσι θυμὸν ἐνίπτει,
Λωβεύων, ἐπεὶ ἄ οἱ ἐπεσβολίη φίλη ἔζει.
4 Τῷ δέ τ' ἀνὴρ ἀσύφηλος ἐπόψιος εἴδεται ἔμμεν,
Καὶ λώβη, ὡσεί τις ἀτίμητος μετανάστης·
Τὸς δ' μάλιστα τίει, οἵσιν νόος ἔζει θεοδμὴς·
Τοῖο καὶ ὅρκια πιστὰ μιμύει, ἐπεὶ ἄρ κεν ὀμόσσῃ,
Οὐδ' ὀπορκήσει, εἰ περ καὶ πήματι κύρσῃ.
5 Οὐδέ π δῶκεν, ἵνα πλεῖον μετόπιθε λάβῃσιν,
Ἐκ φιλοκερδείης, καὶ ἀεικέα μισθὸν ἄρηται,
Οὔ ἕνεκ' ἀργυρίοιο, τὸ καὶ πτωκτέων γέρας ἔζιν.
Οὐδέ π δωροδόκος σκολιὰς ἔκεινε θέμιστας,
Οὐδέ γε πιμπῆς εἵνεκ' ἀμύμονα σίνατο φῶτα,
Ἀλλὰ καὶ ὣς νηποινὶ δίκλιν ἰθύτατα εἶπεν.
Ὅς τοῖος, τά τ' ἔρεξεν ἀνὴρ, ὅδε νωλεμὲς αἰεὶ
Στήσεϊ ἀσφαλέως, ἔσεται δέ τε ἀσυφέλικτος.

Ψαλ. ιε'. 16.

1 Ῥῦσαί, μ', ἠδὲ σάωσον, Ἄναξ· ὅπι σοίγε πέποιθα.
2 Ψυχῇ μευ Θεῷ εἶπε, Σύ μοι Θεὸς ἔπλεο μοῦνος·
Εἰ ἐσθλόν τῳ ἔρεξα, σὲ δ' ὐδ' ὣς ὔποτ' ὄνησα,
Οὐδέ π σοὶ τῷ ἦδος, ἃ μευ πέλεν ἄσιμα ἔργα.
3 Ἦ ποτε τοῖς ὁσίοισιν ὅπι χθονὶ πυκνοτείρῃ
Χρεῖσμ', ὅπερ οὖ ἔρδω, οἵ τε περφερέστατοι ἀνδρῶν,
Τῶς τ' ἄλλων περιβέβλημαι, πῶ δέ τε ἔξοχα πάντων.
4 Σχέτλιοι, οἳ ἕτερον μετὰ δαίμονα εἶμφα θέουσι,
Τοῖσίν τ' ἄλγεα πολλά, κακὸν δέ τε ἔσσετ' ὀπάων·
Τοῖς δ' ἐγὼ ἃ σπείσω, ὐδ' εὔξομαι, οἷς περ ἐκεῖνοι,

Οὐδὲ χολὴ χεύσω, λοιβὴ δέ τε αἵματός εἰσιν,
Οὐδέ τά γ', οἷα σέβονθ', ἁνὰ στόμ' ἔχων ὀνομήνω.
5 Ἀθάνατός μοι μοῖρα πέλει ἠὲ κλῆρος ἀμύμων,
Αἴσά τ' ἐμῆς κύλικος, τιὼ μοι εἴμαρτο νέμεσθαι·
Σὺ κλήρου τ' ἐμοῖο φύλαξ, ὑπό τ' οἶκον ἐρείδεις.
6 Εὖ δέ μοι ἔρρα πέπτηγ', (ἐπεὶ ἀνδράσι γαῖα δέδασται,)
Ἐκ δ' ἔθορε κλῆρος χώρῃ ἐνὶ ἱμεροέσσῃ,
Ἡδείῃ, λιπαρῇ, μθνοεικέα δ' ἔλλαχον αἶσαν,
Ἣν αὐτός τ' ἔθελον, καλὴ δέ μοι ἔπλετο μοῖρα.
7 Αἰνήσω τὸν Ἄναχθ', ὅς μοι συμφράσατο βυλάς·
Κεῖμαι ἐνὶ λέκτρῳ, πυκιναὶ δέ μοι ἀμφ' ἀδῖνον κῆρ
Ὀρθαὶ μελεδῶναι ὄρυσαν νυκτὸς ἀμολγῷ·
Καί μ' αἰνῶς ἐρέθοντες ἐνείκεσαν ἔνδοθι νεφροί,
Ἠδ' ὀπιπήσαντο μυχοίτατα μήδεα θυμῷ·
8 Ἀθάνατόν μοι ἐς ὦπα παμπερὲς αἰὲν ἔθηκα·
Ὅς τ' ἐπεὶ ἦν πάρα μοι ὀπὶ δεξιά, οὐκ ἂν ὀλισθῶ·
9 Τὤνεκα ᾧ κραδίη μοι εὐφροσύνῃσιν ἰάνθη,
Γλῶσά τε γήθησεν, τῇ σὺν κλέος ἔσθλὸν ἀείδω·
Χρώς τέ μοι εὐκήλως κατακείσεται ἀτρέμας εὖδων,
Καὶ νεκρός περ ἐών, ἔπ' οἱ κῆ ἐλπίδος αἶσα.
10 Οὐ γὰρ ἐμὴν ψυχὴν καταλείψεις εἰνὶ βερέθρῳ,
Ἀλλ' ὁσίοιο τεοῖο κῆ εἰν ἀΐδαο δόμοισι
Μνήσεαι, οὐδέ γε πάμπαν, ἐπεὶ λίπεν ἐσθλὰ θυμός,
Γηκεδανισυγερῇ φθίσθαι νέκυν ἠὲν ἐάσεις,
Οὐδέ π τεθνειῶτα κατὰ χθόνα πάντα σαπῆναι.
11 Ἀλλά μοι ἰθεῖαν δείξεις βιότοιο κέλευθον,
Πομπὸς ἐών. παρὰ σοὶ μελιηδέα χάσματα μίμνει
Μυεία, πάρ δὲ τεοῖσι τερφθώπασι φῦλ' ἀνθρώπων
Τερπωλῆς ἐπέβημμ' ὅλῳ ποδί· σωὶ δέ τε ὄπις
Πικρὴ παρμέμβλωκεν εὐφροσύνῃσιν ἀνίη,
Σῇ ὀπὶ δεξιτερῇ αἰὲν νωλεμὲς αἰὲν ἔασι.

Ψαλ. ιζ'. 17.

1 Σύνδε, Ἄναξ, κῆ κλύθι δίκης, βοόωντος ἄκουσον,
Εὐχωλῆς μευ ἄκουσον, ἰὼ ἐν φρεσὶ βάλλεο σῇσι,

Χείλεσιν

Χείλεσιν ἣν ὁσίοισι, καὶ ἀθλίοισιν ἔχευα.
2 Κεῖνέ μ', Ἄναξ, ἵνα σοὶ ὅπῃ ἴσοει πεῖραρ ἕλωμαι·
Ὅ, τπ φρ ἰδὺ τέτυκϑ, ἰδ' ὀφθαλμοῖσι τεοῖσιν.
3 Ἦ μάλ' ἐμῆς κραδίης πειρήσαο νυκτὸς ἀμολγῷ,
Πολλὰ δοπλάων σκοπὸς ὡς ἐμέ τ' ὀξὺ νόησας,
Ἠδὲ μὰ ἀργύρεα ὡς πειρώμενος ἐν πυρὸς αὐγῇ,
Ἀλλ' οὐδ' ὡς κακὸν εὗρες ἐμὸν νόον, οὐδ' ἀπατηλόν.
Οὐ γάρ μοι δολόεσσά ποϑ' ἥνδανε μῆτις ἀλιτρῶν,
Οὐδ' ἕτερον μὴ κεύθω ἐνὶ φρεσὶν, ἄλλο ἢ βάζω.
4 Πολλὰ μάλ' ὑβείζοντες ἀτάϑαλα μηχανόωνται
Ἀνέρες, αὐτὰρ ἔγωγε τεοῖς ἐπέεσι πιϑήσας,
Ἔκ τε κακῶν ἔκλινα, καὶ οὔ τπ με ϑυμὸς ἀνῆκεν
Ἔρδειν ἔργα βίαια, τά δ' ὑβριστῆρες ἔρεξαν.
5 Ἰχνιά μου ἴϑυνον ἐν ἀτραπιτοῖσι τεῇσιν,
Ὄφρ' ἴω ἀσφαλέως, καὶ μήποτε ποσὶν ὀλιϑῶ.
6 Πρὸς σέ, Θεὸς, φώνησα, σὺ γὰρ φωνεῦντ' ἀκούεις,
Νῦν δ' ἴλητι, Ἄναξ, καὶ ἐμῆς ὑπακούσϑι φωνῆς,
Φωνῆς εὐχομένοιο, καὶ ἐν φρεσὶ βάλλεο μῦϑον.
7 Μειλιχίως ϑ' τελεῖ καὶ ἐννεπίως ἀνάφαινε,
Ὡς λίην μεγάλη· ἵνα ϑαυμάσσωσιν ἅπαντες
Οἵ τ' σὺ σωφρων ἀγανός τε καὶ ἤπιός ἐσσι·
Ὡς καὶ σοί γε φίλον, σῇ δεξιτερῇ τε βίῃ τε
Ῥῦσϑ ἀπ' ἀνηβείων τὺς ἀνέρας ἠδὲ σαῶσαι,
Οἳ πιστοί τοι ἔασι, τεῇ δέ τε ϑάρσυνοι ἀλκῇ.
8 Ῥῦσαι ἐμὲ, γλήνιον ϑ' ὡς ὀφθαλμοῖο φύλαξον
Ἀρτεμέα· πτερύγων τε τεῶν σκιῇ ἀμφικάλυψον.
9 Ὑβρι τ ἐξ ὀλοῆς ἀνδρῶν κακὰ μηποώντων,
Δυσμενέων τε βίης, οἵ μοι ϑάνατόν τε μόρον τε
Ῥάψαν ἀειπέλιον, ὥς τ' ἀμφί τέ μ' ἠερέδονται.
10 Βέβειϑέν σφι νέμας σάρκεσι καὶ ἀργέτι δημῷ,
Ἀμφὶ ϑ' πῖαρ ἔχει λιπαρὸν σῶμα, καὶ χέρα πάντα·
Τῷ καὶ ἀγλωσσείησιν ὑπέρβια πολλὰ λέγεσϑιν.
11 Ἰχνιά μου λοχόωντες ὁμιλαδὸν ἀμφιδέδσι,
Σχέτλιοι, ὀδ' ἐνόησαν ἢ ἔνϑ' ἢ ἔνϑα κιόντα·
Ἠδὲ κάτω βάλον ὄσσε δόλῳ κύπτοντες ἔραζε.

12 Ὡς ὅτε λὶς σίντης κεῖται πυκινῇ ἐνὶ λόχμῃ,
Σμερδαλέος, μάλα γάρ μιν ἐδωδῆς ἵμερος αἱρεῖ,
Σκύμνος τε κρατερῶ λέοντος τάρφεσιν ὕλης
Κυπτάζει λοχόων, εἴπως μέγα κῦμα κιχείη.
13 Ὄρσευ ὑποφθάμενός μιν, Ἄναξ, ἵν' οἱ ἐλπὶς ὀλώλῃ,
Καί μιν ἀπεσυφέλιξον· ὑπὸ ἐκ χερὸς ἀνδρὸς ἀλείτεω
Ῥῦσαι ἐμεῖο ψυχὴν σῷ ἄορι, καί μοι ἄμυνον.
14 Ἐξ ἀνδρῶν ἐμὲ ῥῦσαι, Ἄναξ, ἠὲ χερεὶ σάωσον,
Ἀνδρῶν γηγυέων, οἳ ὅπι χθονὶ μοῖραν ἔχουσι,
Τοῖς ὄλβον σὺ διδοὺς ἐμπλήσαο γαστέρ' ἐάων,
Τοίων, οἷά τέ σοι κειμήλια κεύθεα πολλά·
Ἀμφότερον δ', ἅμα τέκνα θ' ἅλις ἠὲ χρήματ' ἔχοντες,
Αὐτοὶ πολλά τ' ἄφυξαν, ἄδην τεκέεσσί τ' ἔλειψαν.
15 Ἀλλ' ἐγὼ εὐδικίῃσι τεῇ ἀναφανδὸν ὀπωπῇ
Ἀθρήσω, σέ τ' ἐς ὦπα ἰδὼν, ἅλις, ὁππότ' ἀναστὰς
Ὀρσομαι ἐξ ὕπνοιο, τεῆς κεκορέσσομαι αἴγλης.

Ψαλ. ιη'. 18.

1 Ἡ ΣΕ φιλήσω, Ἄναξ, ὅς μοι σθένος ἐσσὶ καὶ ἀλκή.
2 Ἀθάνατός μοι πέτρη, ἰδ' ἄασετον ἔρμα τέτυκται,
Ῥύσης, ἠδὲ Θεός μευ, ἰδὲ κράτος ᾧ κε πεποίθω,
Ἀσπὶς ἐμὴ, σιδαρέην τε κέρας, κῦδός τε φόως τε,
Ὑψηλὸς δέ τε πύργος, ἔπαλξίς θ' ἥ σός εἰμί.
3 Ἀθάνατον λιτανεύσω, ὃς ἔξοχά τ' αἰνετός ὄφρι·
Τῷ κε σαωθείην ἀνδρῶν ἀπὸ δυσμενεόντων.
4 Ἀμφὶ μοὶ ὠδῖνες μέλαν ος θανάτοιο κέχυντο,
Καί μ' ἔχον ὡς ἀφῖσι λίνα ἁλόντα πανάγρῃ·
Ὡς δ' ὁπότε πλήθων ποταμὸς πεδίον δὲ κάτεισι
Χειμάῤῥους, ὅς τ' ὦκα ῥέων ἐκέδασσε γεφύρας,
Ἠχῇ θεσπεσίῃ, προμέει δέ τε φῶτ' ἀνθρώπων·
Ὡς ὅπι μοὶ δεινός θ' ὅμαδος καὶ φλοῖσβος ὀρώρει
Ἀνδρῶν δυσσεβέων, οἵ μοι μέγα πάρος ἐνῶρσαν.
5 Ἀμφὶ μοὶ ὠδῖνες συνερῦ ἀΐδαο κέχυντο,
Ὡς λίνα· προὔτυψαν θανάτοιό τε δίκτυα λυγρά.
6 Ἀθάνατον λιτάνευσα κακῇ πότ' ὀϊζύος ὥρῃ,

Πρὸς

Πρὸς ὃν Θεόν μου ἔκραξα βοήν· ὁ δέ τ' ἔκλυεν αὐδῆς
Αὐτόθεν ἐξ ἱεροῖο, βολώ τέ μου εἴασεν ἐλθεῖν
Εἰσάρ ἑο φρεσπάρθιδε, κὴ ὔασιν οἷσιν ἔδεκτο.
7 Τόφρ' ἐλελίχθη πᾶσα, κὴ ἔτρεμε κινυμένη χθών·
Αἰπεινῶν τ' ὀρέων ἄμυδις δεδόνητο θεμέθλα,
Κινήθη δ' ὑπὸ ἐνερθε κὴ ἔτρεμεν, ὡς ὁ χολώθη·
8 Τῷ κὴ ἀπὸ ῥινῶν ἀνεκήκιεν ὑψόσε καπνὸς,
Δεινὴ δ' ἐκ στόματος φλὸξ ὤρετο χωομένοιο,
Θῦνε δέ τ' ἀμβολάδην, πυρὸς ἄνθρακας ἐξανιεῖσα·
9 Οὐρανὸν ἀγκλίνας κατέβη· ὑπὸ ποσὶ δ' ἔοῖσιν
Ἀχλὺς ἀμφὶ μέλαινα χύθη, κὴ νὺξ ἐρεβεννή.
10 Ῥίμφα ποτᾶτο Χερούβῳ ὀχάμενος, ὥστερ ἐφ' ἵππῳ·
Ἴπτατο δ' πτερύγεσσι πολυπλάγκτῳ ἀνέμοιο.
11 Ἀμφὶ δέ οἱ κευθμῶνα χέε ζόφον ἠερόεντα,
Ἀχλὺν ἐναίμων· κλισίην δέ οἱ ἔμμεν' ἔθηκεν,
Ὕδωρ λάθοι, ὕδωρ τε δνοφερὸν, τά τ' ἐν αἰθέρι δίν
Γίγνονθ', νέφεα σήσας, πυκινά, σκιόεντα.
12 Τῶ δ' ἀναφαινομένω νέφε' ᾤχετο μαρμαρυγῇσι,
Σὺν δὲ χαλάζη ὁμῶ πυρὸς ἄνθρακες αἰθομένοιο.
13 Καὶ τότ' Ἄναξ βρόντησεν ἀπ' ὐρανῶ ἀστερόεντος,
Καὶ Ὑψιβρεμέτης δεινὴν ἀνενείκατο φωνήν·
Δεινὴ δ' φλὸξ ὤρτο νέφευς ἀμφὶ ξυνομένοιο,
Σὺν δ' χαλάζη ὁμῶ πυρὸς ἄνθρακες αἰθομένοιο·
14 Αὐτίκα δ' φολόεντας ἐὰς φρεσέπηκεν ὀϊστούς,
Σφέας τε διεσκέδασεν· πυκινῇσί τε ἀστεροπῇσι
Τῶν δε πυσκόμενος, μεγάλ' ἐπτοίησεν ἅπαντας.
15 Ἐκ δ' ἔφανον πηγαὶ ὑδάτων, κὴ βένθεα δεινά,
Βένθεα δεινά, μυχοί τε πολυφλοίσβοιο θαλάσσης,
Καὶ χθονὸς εὐρυχόρῳο θεμείλια νέρθε πέραν θ'·
Ὡς σύ-γ' ὁμοκλήσασκες, Ἄναξ, κεχόλωσο δ' θυμῷ,
Ῥινῶν τε δειμαίην αὔτμὴν ἐξανέηκας.
16 Ὑψόθεν ἄγγελον ἧκε, λαβὼν δέ με ἔξαγεν ἄτης·
Πολλῶν τ' ἐξ ὑδάτων ἐμὲ ῥύσατο, κὴ ἐσάωσε,
17 Ῥύσατο δ' ἐξ ἐχθρῆ θῦειν ὀπιμένω ἀλκὴν,
Δυσμενέων τ' ἀνδρῶν· ἐπεὶ μου κρείσσονες ἦσαν.

Οἳ

18 Οἱ γὰ προφθάμψοί με ἀμφεξαῖσαι μεμάασιν
Ἄτης ἤματι λυγρῷ· Ἄναξ δέ μοι ἔρμα τέτυκλο.
19 Χῶρον ἐς εὐρύτερόν μ' ἐκ στεινωποῖο μετῆγεν·
Ἔκ τε κακοῦ ἐσάωσ', ὅτι οἱ κεχαρισμένος ἦα.
20 Καὶ δέ μ' δικαιοσύνην μοὶ ἐμοὶ χαρίσαντα ἀμοιβὴ
Δῶκεν Ἄναξ· τὸ δ' εἵνεκ', ἰδ' ὕνεκ' ἀμύμονες ἦσαν
Καὶ καθαραί μοι χεῖρες, ἐοικότα μισθὸν ὀρέξαι.
21 Μέμνημαι γὰ Ἀνακλ ἐφετμέων, ἃς ἐπέτειλεν,
Οὐδέ τ' ἐμοῖο Θεοῖο ἀταθαλίῃσιν ἀπέστιν.
22 Τῶ γὰ θέσφατα πάντ' ἐμέο προπάροιθεν ἔθηκα,
Ὄφρα φυλαξαίμιν· τῶ δ' ὕποτ' ἀπῶσα θέμισας.
23 Πὰρ δ' οἱ ἀναίπλ ἦα· σεβασσάμψος τόγε θυμῷ,
Μήποθ' ἁταθαλίῃ εἴκειν, μήτ' ἄισυλα ῥέζειν.
24 Τ' ὕνεκ' ἔμοιγε Θεὸς μενοεικέα δῶκεν ἀμοιβὴν
Τῆς τε δικαιοσύνης μευ, ἰδ' ὕνεκ' ἀμύμονες ἦσαν
Καὶ καθαραί μοι χεῖρες ἔπ' προπάροιθεν ὀπωπῆς.
25 Ἢ μὲ μειλίχῳ ἀνδρὶ σὺ μειλιχίην ἀναφαίνεις,
Ὅς τ' ἀμύμων ἦ, τῷ-δ' ἔσσεαι αὐτὸς ἀμύμων.
26 Καὶ καθαρῷ καθαρὸς, σκολιόφρονι δὲ σκολιόφρων
Φὴς ἔμμεναι, ἵν' ἔκας ἐοικότα μισθὸν ἄρηται.
27 Τειρόμψον γὰ λαὸν ὀϊζύος ἐξαναλύσεις·
Καὶ δ' ὄσσε πλήξεις ἀνδρῶν ὑπερηφανεόντων,
Ῥεηά γ' ὑφρίαλον μινύθων, καὶ ἀγήνορα κάρφων.
28 Ὅτι σύ μοι λύχνα δαίων φλόγα παμφανόωσαν,
Αὐτὸς, Ἄναξ ὁ Θεός μευ, ἀπώσεις πᾶσαν ὁμίχλιν,
Ἠέρα τε σκεδάσεις, καί μοι φάος ἐγγυαλίξεις.
29 Καὶ γὰ σεῖο ἔκητι μέσας ἐξέρηξα φάλαγγας,
Ῥεῖα δὲ καὶ τείχευς ὑφάλμενος, ὅτι Θεός μευ
Ἐν ἀθένος ὦρσεν ἐμοὶ, καὶ ὀπῆρδος ἦε ποδοῖϊν.
30 Ἡ δίκη ὀξὶ Θεοῦ, ὁ δὲ πάντα κατ' αἶσαν ἔρεξε·
Θέσφαλα δ' Ἀθανάτοιο ἀμύμονα πάντα τέλονται,
Καὶ λόγος ἄργυρος ὡς κεκαθαρμψος ἐν πυρὸς αὐγῇ,
Λαμπρός τε, σερεός τε· τελεῖ δὲ μάλ' ὥσπερ ὑπέστη·
Ἀσπὶς ὅδ' ἔπλετο πᾶσιν, οἳ αὐτῷ δάρσυνοί εἰσι.
31 Τίς Θεὸς ἐὸ' ὅτε μὴ ἱερὸν μένος Ἀθανάτοιο;

Πέτρη

Πέτρη τὶς κρατερὴ πλὴν γ' ἡμετέρου Θεοῦ;
32 Ἀλκὶ Θεὸς μεζώσεν, ὁδὸν τ' ἰθεῖαν ἔθηκεν
Ἐν πάντεσσι πύλαισι, κὴ ἔπλετο πομπὸς ἀπήμων.
33 Γῆα δ' ἔθηκεν ἐλαφρὰ, μάλ' ἀρτίπος ὥρα γενοίμην,
Καρπαλίμως τε πόδας, πόδας ὡς ἐλάφοιο ταχείης·
Ὕψι μ' ἐν ὄρεσιν εἶσεν ἐπ' ἄκριας, ἦ σόος εἰμί.
34 Χεῖρας ἐμὰς ἐδίδαξεν ἀϋτλὴν τε πόλεμόν τε,
Τῶ μ' ἔμπαλον ἔθηκε, μάχης τ' οὖ εἰδότα πάσης·
Καί τε σιδήρειον κατέαξα βραχίονι τόξον,
Τόσσον μοι δένος ἦὖ, κὴ ἶν' ἀπέλεθρον ἔδωκεν.
35 Ὡς σάκεϊ σιβαρῷ κρύψας τε με, κὴ ἐσάωσας·
Δεξιτερή σευ ἔμοιγε μέγ' ἔρμα κὴ ἄλκαρ ἐτύχθη,
Μειλιχίη δὲ τεὴ πηλὺ κὴ κῦδος ὄρεξεν.
36 Ἴχνια μοι σύρηας, ἵν' ἀσφαλέως ἐφεδιῶντι
Μήπω σείνος ἔῃ, κὴ μήποτε ποσσὶν ὀλιδῶ.
37 Δηΐους οὖν ἐδίωξα ποσὶ κραιπνοῖσι μεταστὼν,
Οἳ μὲν ἐφ' ὁδὸν ἔφυγον, ἐγὼ δ' ἐδάμασσα κιχάνων·
Οὐδ' ἀνορέξον ἔβλιψ, πρὶν αὐτόθι πάντας ὀλέσθαι.
38 Τύς ῥ' ἔβαλον κρατερῶς, τοί δ' ἤειρον, ἐδὲ ἄρα πως ἦν
Ἀνσῆναί σφισιν αὖθις, ἐμοῖς δ' ὑπὸ ποσσὶ πεσόντες,
Κείατο λυγαλέως βεβλημένοι ὑτάμενοί τε.
39 Ζώσάς με δένος ἦὖ μάχην ἐς κυδιάνειραν·
Οἳ δέ τέ μοι ἐπόρουσ' ἐναντίβιον πολεμίζειν,
Τὺς δὲ κατὰ κρατερῶς ὄλεσας, κὴ ἐμοὶ ὕπο ἶφι δάμασσας.
40 Δυσμενέας δέ τέ μοι φύγαδ' ἔτραπες, οἳ δ' ἐφέβοντο,
Ὡς ἔμ' ἀπεχθαίροντας ὀλέσσω δηριηθόμησας.
41 Οἳ μὲν ἐφώνησαν, πρὸς δ' οὐ σφισιν ἔσκεν ἀμύντωρ·
Ἀθάνατον λιτάνευσ', ὁ δ' οὐκ ἀΐσσε λιτάων.
42 Ἐνδὺ αὐτὺς σμὶ τ' ἔθλασα ἀραξά τε, ὥστε κονίλω
Λεπτύνων, λὺ ῥίμφα διεσκέδασ' ἶς ἀνέμοιο,
Νέρθε δὲ πόσ' ἔρρασα δατεύμενον ἦὖτε πηλὸν,
Στείβων, ὅς τ' ἐν ἀγυιῆσιν κέχυτ' ἤλιδα πολλός.
43 Ἀνδρῶν μ' ἐξ ὁμάδου ὕπαγες σόον, ἔκ τε κυδιμοῦ,
Λαοὺ ὁμοκλήσαντ' ἔειν κὴ νείκεα παύσας·
Ἔθνεσι δ' ἀρχὸν ἔθηκας ἀγαστέμεν· ἦ κεν ἔμοιγε

Ἀλλοδα-

Ἀλλοδαποί τε καὶ ἀγνῶτες πειθοίατο λαοί.
44 Οἱ κε πίθοιντό μοι αὐτίκ', ἐπεὶ καὶ ἐμεῖο πύθοιντο·
Καί πω ἐμοὶ ὑποείξασιν πολλ' ἔθνεα φωτῶν,
Ξείνων, ἀλλοδαπῶν, ἔμ' ὑποδδείσαντες, ἀνάγκη,
Καὶ ψεύδεσι χαριζόμενοι ἐμοὶ ἤρα φέρουσες.
45 Ἀλλοθρόοις ἀνδρεσσι βίη καὶ θάρσος ὀλεῖται,
Οἱ καὶ ὑπαὶ δείους πυκινὰς κευθμῶνας ἔχουσες,
Σπέσσιν ἔνι πήξεσι, μόλις δέ κε θυμὸς ἀνείη
Οὐδέ ποθ' ἑρπύζειν ἔκτοσθε μυχοῖο δύραζε.
46 Ζώει Ἄναξ· ὁ δέ τ' αἰὲν ἀοιδῇσι κλειέσθω,
Ἕρκος ἐμόν, πέτρη τε· θεός τε μάλ' αἰνετὸς εἶη,
Ὅς τ' ἀεί μ' ἐσάωσε, φόως τε μοι ἔπλετο μύθος.
47 Ἐκ θειόφιν τίσις ὄξιν ἐμεῦ, ὅ μοι ἔπλετ' ἀμωίτως,
Λαὸς ὅς τ' ἐδάμασεν ἐμοῖν ὑπένερθε ποδοῖιν.
48 Ῥύσατό μ' ἐξ ἐχθρῶν· σὺ δὲ τὰς δ' ὕπερ ὕψι μ' ἄειρας,
Ὅσσοι μοι ἐπόρουσαν ἐναντίβιον μαχέσασθαι·
Ἐκ τ' ἀνδρὸς μ' ἐσάωσας ὑπέρβιον ὄφρα ἔχοντος.
49 Τοὔνεκ', Ἄναξ, σ' αἰνήσω ἐν ἔθνεσιν, οἷά μ' ἔοργας·
Ὑμνοισίν θ' ἱεροῖσι τεὸν κλυτὸν ὄνομ' ἀείσω.
50 Ἄσπετον ᾧ βασιλῆϊ φόως καὶ κῦδος ὀπάζει,
Τῷγε φίλα φρονέοντι, ᾧ τ' αὐτὸς σκῆπτρον ἔδωκεν,
Ὄν δέ τ' ὀπὶ θρόνῳ εἶσε, καὶ ἔχρισεν λίπ' ἐλαίῳ,
Δαβίδῃ, ᾗ γενεῇ τε ἀμέμπτερές ἤματα πάντα.

Ψαλ. ιθ'. 19.

1 Οὐρανὸς ἐξήγγειλε μέγα κλέος Ἀθανάτοιο·
Τέκτων οἷος ἔην, σάφα δεῖξε καὶ ἄσπετος αἰθήρ,
Ὅς μιν ὀπιζαμένως τεχνήσατο χερσὶν ἑῇσι.
2 Καὶ τό δέ γ' ἤματι τ' ἦμαρ ἀειφραδέως κατέλεξε,
Καὶ νὺξ νύκτα δίδαξεν, ἀμοιβαίῳ πινὶ κύκλῳ
Ἄμφω ἑαμφὼ ἱερὸν δρόμον ἐκτολυπεύειν.
3 Οὔ σφισιν, ὡς μερόπεσσιν, ἔνι δρόος, οὐδέ τι γῆρυς,
Οὐδέ πολε σφετέρῃ τις ὑπὸ σομάτων ὄπ' ἄκουσε·
4 Τῶν δὲ κανὼν καὶ μέτρα ἁλὰ χθόνα πᾶσαν ἵενται,
Ὡς τ' ἔπια περόεντα δι' ἔσχατα πείρατα γαίης·

Τοῖς

Τοῖς ἔνι τ' ἠελίῳ κλισίην ἐύπυκλον ἔθηκεν.
5 Οἵῳ δ' ὑψορόφῳ κίε νυμφίος ἐκ θαλάμοιο
Κυείδιος, χάεισίν τε κεκασμένῳ ἠνορέῃ τε,
Ὡς ὄγ' ἐείσατ' ἰὼν ποτὶ ἠρανὸν ἀστερόεντα,
Βῆ δ' ἴθειν χθ' κύκλον, ἐὸν δρόμον ὄρρα τελέσσῃ,
Κυδιόων, ἀκτῖσι δ' ἀγαλλόμῳ πεπότηται·
Ὡς ὅτ' ἀεθλοφόρος τις ἀνὴρ μάλα ξίμερα θέησιν,
Ἀμφότερον, δένεί τε, ποδωκείῃ τε πιθήσας.
6 Τῷ δέ τ' ἀπὸ γυάσης τέτατο δρόμῳ, ὦρτο δ' ἀπ' ἄκρης
Οὐρανοῦ, ἵετο δ' αὖθις ἐπ' ἠρανὸν ἄκρον ἰκάνειν,
Δυσόμβυός τ' ἀνιών τε διηνεκέϊ τροφάλιγγι·
Οὔτε δ' ἔης ἄγλης ἀλέης δέ τε ἄμμορόν ὄζιν.
7 Ἡ ῥα τελειότατος θεσμὸς πέλε Ἀθανάτοιο,
Ζωγρεῖ τ', ἐμπνείει τε μένος τεπιόπι θυμῷ·
Τοῦ ὃ θεοσεύστου πιστόν τε, καὶ ἔμπεδον αἰεί,
Καί τε χαλιφρονέοντα σαοφροσύνης ἐπέβησεν.
8 Ἀθανάτοιο μάλ' ἰθεῖαι τελέθουσι θέμιτες,
Καὶ κραδίην εὔφρηναν· ἐφιτμὴ δ' Ἀθανάτοιο
Ἀγνὴ, καὶ γλυκερὸν φάος ὀφθαλμοῖσιν ἔδωκεν.
9 Αἰδὼς Ἀθανάτοιο πέλε καθαρὴ καὶ ἀμύμων,
Μίμνε τ' ἔμπεδον αἰεί· ἀληθέα δέσφατα πάντα,
Πᾶσιν ἅμ' Ἀθανάτοιο δίκαιά τ' εἰσὶ θέμιτες.
10 Αἵπερ τε χρυσοῖο μεγ' ἱμερόεσσαί εἰσιν
Ἐκπάγλου, πολλοῦ ἐρατίμοιο χρυσοῖο·
Καὶ γλυκίους μέλιτος, καὶ κηρίου ἠδὺ ῥέοντος.
11 Αἵ τέ μοι οὖν δ' ὑπέθεντο, καὶ ὡς μάλα πολλ' ἐδίδαξαν
Σὸν θεράποντ'· ἐπεὶ εἴ τις ἀνὴρ καὶ τῆσι πίθηται,
Τάς τε φυλάξῃσιν, μισθὸς κέν οἱ ἄρκιος εἴη.
12 Ἀμπλακίας τίς ἐάν ἔγνω φρεσὶν, οἷά δ' ἁμάρτῃ;
Τῷ σύ με τῶν δὲ κακῶν καθαρὸν καὶ ἀμύμονα θείης,
Νηπιέη ἅ τ' ἔρεξα, λάθεν δέ με, ὑδ' ἐνόησα.
13 Ἴσχε δ' ὑπερβασίης καὶ ἐρήπυε σὸν θεράποντα,
Μή τι σε πως ἀλίτωμαι ἀγηνορέῃσι νόοιο.
Αἱ δέ τ' ἐμεῦ κρατέωσιν, ἐγὼ δέ τε τῆσι πίθωμαι·
Ὡς κεν ἀμώμητος πάμπαν, δεινῆς τε κακῆς τε

Αἰὲν ἀταρτηλίης καθαρός τε καὶ ἄμωμος εἶην.
14 Ἀλλά σε λίσσομαι, Ἄναξ, ὃς ἐμὸν κράτος ἐσσὶ καὶ ἄλκαρ, 1
Ὅς τέ με πεφρικυίας πάσης κακῆς ἐξανέλυσας,
Ἦ τοι ἄδδι φρεσὶν ἄμφω ὁμῶς, πεχαρισμένα τ' εἶπη,
Καί τ' ἔπεα σόμαλα, καὶ ἐμοὶ μελεδήματα θυμοῦ.

Ψαλ. κ'. Ζ'.

1 Ἀθάνατός σευ ἀκούσαι ὀΐζυος ἤματι λυγρῷ, 3
Τῶν δ' Ἰακωβιάδεων θεοῦ ἄνομά σοι ἐπαμύναι. 4
2 Σοὶ ᾧ μέγ' ἐξ ἱεροῖο φόως τε καὶ ἄλκαρ ὀπάζοι·
Ἐκ τε Σιῶνος σοί γε βίην καὶ κάρτος ὀρέλλοι.
3 Καὶ θυέων μεμνέφτο, καὶ ἱρῶν ὅσσα τ' ἔρεξας, 5
Εἴη δ' οἱ χαείτην, ὅσα οἱ κῆ μηεῖ' ἔκηας
Ταύρων ἠδ' αἰγῶν, κρίοιη δέ τε θρανὸν ἵκοι· 6
4 Πρόφρων σοι τόσσα δοίη, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
Καὶ βουλὰς, θυμῷ τε νοήματα πάντα τελέσσαι.
5 Χάρμα μέγ' ἔσσεται ἄμμι φόως τεὸν, ὡς ἐφύλαξας· 7
Σήματ' ἀειρόμενοί τε, ἀγαλλόμενοί τε, Θεοῖο
Οὐνόματι κράτεΐ τε πεποιθότες ἡμετέρῳ,
Στήσομεν· Ἀθανάτῳ δ' ὡς σοὶ ὅ, τι κεν αἰτήσῃς. 8
6 Εὖ μὲν νῦν τόδε οἶδα χῷ φρένα καὶ χῷ θυμὸν,
Οὕνεκά τ' Ἀθανάτῳ πέλεν ἔβασιλῆϊ ἀμώτωρ, 9
Ἐκ τοῦ κακοῦ ἐσάωσεν, ἐπεὶ μιν χεῖσεν ἐλαφρῶ·
Οὐρανόθεν δ', ὅθι οἱ ἕδος ἱερὸν ἔδαν, ἀκούσεν,
Ῥῦσάί μιν μεμαῶς ᾧ κάρτεϊ, δεξιτερῇ τε,
Ἰφθίμῃ, ἀνεραφῇ τε, σαώσαί τ' αἰὲν ἑτοίμῃ.
7 Ἄλλοι μὲν τ' ὀχέων, δίφρων τ', ἄλλοι δ' καὶ ἵππων, 10
Ἡμεῖς δ' Ἀθανάτου μόνου ἡμετέρῳ Θεοῖο,
Τοῖο δέ τ' ἀνόμασ μεμνήσομεθ', ὅτέ τευ ἄλλου.
8 Οἱ μὲν ἀνεκλίνθεν, καὶ κάππεσον ἐν κονίῃσιν· 11
Ἡμεῖς δ' ἐσάμεθ τ' ὀρθοὶ, μάλα τ' ἐμπεδόν εἴμεν.
9 Τὸν βασιλῆα σάωσον, Ἄναξ· ὃ δέ τ' ἤματι κείνῳ, 12
Ὁππόθ' ἑ λισσώμεθ', ἡμέων ἴλαος ἀκούσαι.

Ψαλ

Ψαλ. κα'. 21.

1 Ἀθάνατ', ἦ ῥα σῇ βασιλεὺς κεχαρήσεται ἀλκῇ·
Ὡς λίην χ' ὑμνὸν ἐϋφροσύνησιν ἀνδήεις
Γηθήσει, ἐπεὶ οἱ σὺ φόως ἐτέτυξο κὴ ἄλκαρ.
2 Καὶ σὺ μὲ οἱ τόσα δῶκας, ὅσα φρεσὶν ἧσι μενοίνα.
Ὅ, πι δ' ἀνὰ στόμ' ἔχων ποτέ σ' ἤτειν, οὐκ ἀνένευσας.
3 Δῶρα δέ οἱ φθάμενος δῶκας μάλα πολλὰ κὴ ἐσθλά·
Καί οἱ ὄπι κραπὶ στέφανον χρύσειον ἔθηκας.
4 Ἤτεε μὲ βίοτον σε, σὺ δ' οἱ μάλα μακρὸν ἔδωκας,
Δηθά τ' ἔτι ζώειν κὴ ὁρᾶν φάος ἠελίοιο.
Ἀλλά γε νηλιμέως τε κὴ ἤμαλα πάντα βιῶναι
Δῶκας, μήποτε πάγχυ φίλης αἰῶνος ἀμερδῇ.
5 Ἀλκῇ σευ κὴ ἀρωγῇ ὅδ' ἄασετον ἦρατο κῦδος·
Τῷ τιμήν τε κὴ ἀγλαΐην ὄπι πυλὼ ἔχευας.
6 Ὄλβον οἱ εὐδινέην τε ἀφημπεχὲς ἐγγυάλιξας
Θειοσέην, γενεῇσι κὴ ἰσοῤῥώῃσι πυθέσθαι·
Μειδιόων δ' ἀγανοῖσι προσώπασι μείλιχος αἰεί,
Ὡς λίην οἱ θυμὸν ἐϋφροσύνησιν ἴηνας.
7 Ἀθανάτῳ γὸ ἄναξι πίσυνος τῷ τ' ἔμπεδος ἔσαι,
Ὑψιμέδοντος ἐνηείῃ, ὅς οἱ ἕρμα τέτυκτο.
8 Μάρψει δυσμενέας σέο χείρ, ὅσοι τοι ἔασι·
Δεξιτερὴ δ' ὀλέτειρα κιχήσεῖ ἐχθαίροντας.
9 Τοὺς ὃ καταφλέξεις, πυρόεσσῃ τ' ἶσα καμίνῳ
Θήσεις ἤματι τῷ ὅτε σοι χόλος αἰνὰ δέδηε·
Καδδέκεν Ἀθάνατός σφεας τε βρόξειε χολωθείς,
Δαρδάψειέ τε πάγχυ πυρὸς μένος αἰθομένοιο.
10 Τῶν ὃ γονὶὼ προθέλυμνον ἀπὸ χθονὸς εὐρυοδείης
Ῥαίσεις, ἔκ τ' ἀνδρῶν σήμα τέκε', ὅσσα φύτευσαν,
Ὡς σφισιν ἄσπερμος γενεὴ κὴ ἄφαυλος ὄληται.
11 Οὕνεκά τ' αἴσυλα τοί γε σέθεν κάτα μηχανόωντο·
Ἧλε δόλον τολύπευσαν ἀταθαλίῃσι νόοιο,
Ῥάψαντες κακὸν ἔργον, ὃ ὐ τελέεσθαι ἔμελλε.
12 Τῷ τέ σφεας ἄμυδις στήσεις κεφαλήν τε κὴ ὤμους
Ἀντικρὺ σκοπὸν ὧς, ἵν' ἀπὸ νευρῇφιν ὀϊστοῖς

Σοῖσι βάλῃς κατενῶπα, πτυσκόμῳ βελέεσσιν.
13 Ὄρσεο, Ἄναξ, σῇ τ' ἀλκὶ βίηφί τε ἶφι πιθήσας· 13
Ἡμεῖς δ' εὐκελάδοις σὸν κάρτος ἀείσομεν ὕμνοις.

Ψαλ. κϐ'. 22.

1 Τίπτε, Θεὸς, Θεὸς ὅς τέ μου ἔπλεο, τίπτε μ' ἀνῆκας,
Τέτληκάς δ' ὕπω ἀσχαλιπεῖν δύσηνον ἐόντα; 14
Τίπτε φόως ἐκὰς ὄσσε μινυσθμηνοῖό σ' ἔμπης;
2 Ἠματίου γ' ἐβόησα, Θεός μευ, καί σ' ἰκέτευσα
Πολλὰ, σὺ δ' οὐκ ἀΐεις· σιγὴ δέ μοι ἐδδ' ἀνὰ νύκτα,
Οὐδέ τι μοι κατάπαυμα κακῆ φρενί, οὐδέ τ' ἐρωή. 15
3 Ἀλλ' αἰεὶ ὅπῃ σὺ μνήεις, χαείτασά τ' ἀσιδὴ,
Αἴνός τ' Ἰσακιδέων, Ἰσραήλοιό τε κῦδος.
4 Σοί-γε πεποίθασιν πατέρες τετληότι θυμῷ·
Σοί-γε πεποίθασιν, σὺ κακῶν δ' ἐρύσαο πάντων. 16
5 Λισσόμενοί σ' ἐκάλεσσαν, ὄϊζύϊ δ' ἐκ τ' ἐσάωθεν·
Σοὶ πίσυνοι ἐφύοντο, καὶ οὐ σφισιν ἐλπὶς ὄλωλεν.
6 Αὐτὰρ ἐγὼ σκώληκος ἐν εἴδεϊ πέφρ' ἀνδρὸς,
Ἀνθρώπων λώβη τε κακὴ, καὶ ἐπόψιος ἄλλων, 17
Καὶ λαῶν μέγ' ὄνειδος, ἐλέγχιστος ζωόντων.
7 Πάντες μ' εἰσορόωντες ἐμοὶ ἔπι νηδὺ γέλασσαν·
Χείλεσι δ' συνερρῖσι χάνον, καὶ ἐρεψιόωντο, 18
Κίνησαν δ' κάρη, καὶ κερτομέοντες ἔειπον·
8 Ἀθανάτῳ πίσῳ φατο δ' ὡς ῥύσεται ἔμελλε·
Ῥυσάσθω, ἐπεὶ οἱ κεχαρισμένος ἔπλετο θυμῷ. 19
9 Ἀλλὰ σύ μ' ἐκ γαστρὸς, ὅτε με σχεδὸν τέκε μήτηρ,
Ἐξάγαγες σφετέρως-δε, καὶ ἠπίως ἴδον αὐγάς·
Ἐν δ' νεηλυέϊ στάξας μαζὸν ἐπέσχε. 20
Μήτηρ, ἣ τότε μοι λαθικηδέα μαζὸν ἔπεσχε.
10 Σοὶ δ' ὀπιτεύσαμμαι ἐκ γαστέρος, ἠδὲ μέμηλα,
Καὶ σύ-γ' ἐμὸς Θεὸς εἶς, ἐξ οὗ ἐμὲ γείνατο μήτηρ.
11 Μὴ ἐκὰς ἴστασ' ἐμεῖο, πόσον τ' ἄπο νόσφι λιαδεὶς· 21
Ἐγγύθι γάρ τ' ἄτη, σχεδὰ δ' οὐκ ὀπιτάξεσθός ὄτι.
12 Πολλοὶ μόσχοι τε βόες σεῖό τ' ἀμφί τ' ἔμ' ἠγερέθοντο,
Ζατρεφέες ταῦροι Βασάνοιό με κυκλώσαντο. 22

13 Ὡς

13 Ὡς δ' ὅτε λὶς ὀνύσσι χάνε χαμφηλῆσιν ἐῆσιν,
Ἄγελον, ὠμοφάγον, μέγα δὲ δόνεῖ βλεμεαίνων
Γλαυκιόων τ' ἰδὺς φέρεται, κρειῶν ἐρατίζων,
Σμερδαλέα ἰάχων, δεινὸς δ' ὀφθαλμὸς ὁρώρει·
Ὡς καί μοι σομάτεσσι κεχηνότες οἵ γ' ἐπόρουσαν.
14 Ἐκκέχυμαι ὡς ὕδωρ, ἀλά τ' ἔτμαγεν ἄψεα πάντα,
Οὐδ' ἔτι μοι σάρκας τε καὶ ὀστέα ἶνες ἔχουσι·
Κῆρ δέ μοι ἠΰτε κηρὸς ἐνὶ στήθεσσιν ἐμοῖσιν·
Ὡς ὁ μὲν ἔν μαλερῷ πυρὶ τήκεται, ὥς τέ μοι ἦτορ
Φθίνει, καὶ μέσσοισιν ἐνὶ στηλάγχνοισι τέτηκεν.
15 Οὐκέτι μοι μελέεσσιν ἔτι δόναξ, ὃ πρὶν ἔχεσκον,
Ξηράνθη δ' βίη, ὥς τ' ὄστρακον αἶον ἐτύχθη·
Γῦα κατεσκλήκασ', ἔχεται δ' γλῶσσα λάρυγγος
Δίψῃ καρχαλέοιο· σὺ δ' ἐς θάνατόν με κόνιν τε,
Ἐς θάνατόν τε κόνιν τε, χυτλιὺ τ' ἐπὶ γαῖαν ἀνήγες.
16 Πολλοὶ μὲν κύνες ἀμφί τε καὶ περιδρόμιοι,
Οὐλόμενοι, ἀνδρῶν δὲ κακῶν ἀγέλη τις ὀμίλου·
Χεῖράς ἐμάς τε πόδας τε λελιμπρὲς ἐξεπέρησαν,
17 Ῥηΐδιως κεν πάντα μοι ὀστέα πεπταίνοιμι·
Οἱ δέ με θηεῦνται, καὶ ἐγὼ σφιν ἐπόψιός εἰμι.
18 Εἵματά μοι διάσσαντο μετὰ σφίσιν, ἀμφὶ χιτῶνος
Πάλλοντο, κλῆρους βεβόλοντό τε, ὅς κε λάχησιν.
19 Ἀλλὰ σὺ μήποτ' ἐμεῖο, Ἄναξ, ἄπο νόσφι λιάδῃς·
Ὦ κράτος ἔρμα τε μοι, ταχὰ μοι ἐπιτάρροθος ἔλθε.
20 Ῥῦσαι ὑπ' ἐκ ξίφεος τὴν ἐμὸν μελιηδέα θυμόν·
Τόν τ' ἀγαπητὸν ἐμὸν κυνὸς ἐκ κράτεός τε βίης τε
Καρχάρου, ὅρς' οἱ μήποθ' ἕλωρ καὶ κύρμα γένηται.
21 Ἐκ στόματός με σάου φάρυγός τ' ὀλοοῖο λέοντος,
Σμερδαλέου· καὶ γὰρ σύ ποτ' ἔκλυες οὐχουλύσιο
Ἐκ κεράτων, καὶ ἄφαρ μ' ἐρύσαο, μουνοκερώτων.
22 Οὔνομα σὸν κύδός τε καταγνήτοισιν ἐμοῖσιν
Ἀγγελέω, μέσσῃ τ' ἀγορῇ τεὸν αἶνον ἀείσω.
23 Ἀλλ' αἰνεῖτε καὶ ὔμμες, ὅσοι φρεσὶν αἰδέσασθε
Ἀθάνατον· τῷ γὰρ κλέος ἐσθλὸν ἀείδετε πάντες
Οἱ Ἰακωβιάδαι, στῦφ δ' αἰδὼ θεὰ ἐν θυμῷ

Πᾶν Ἰσραήλοιο γλύϕ⊙, καὶ ἐ δείδιτε λίην.
24 Ἀνδρὸς ὀϊζυρῆς σὺχλὺ ὅπα τ' ἐκ ἀδεείζει·
Οὐδέ τ' ἀποτρωπᾶται ὀϊζύ⊙, ὐδέ τ' ἀπίσση
Τοῖό τε νοσφιδείς, ἀλλ' ἦν βοόωντος ἀκούει.
25 Ἔνθεν ἐλών σ' αἰνήσω, ἰδὲ ἐκ σέθεν ὕμνον ἀείσω
Εἰν ἀγορῇ μεγάλῃ, πολλῷ τ' ἀνδρῶν ἐν ὁμίλῳ·
Ἀνδρώπων ϑ' πάρεσθε δεδεία θυμὸν ἐχόντων,
Καί σε μάλ' ἀζομένων, σὺχωλάς μευ ἀποπίσω.
26 Πτωχοὶ ἐνπείῃ τε κεκασμένοι ἄνδρες ἔδονται,
Καί κεν ἄλις σφίσιν εἴη· ἱμειρόμενοι δέ τ' Ἄνακτ⊙
Τόνδ' αἰνήσουσιν, κῆρ δέ σφισι νωλεμὲς αἰεὶ
Βείεται, ὐδ' ἄρα τις γε φίλης αἰῶν⊙ ἀμέρσει.
27 Πάντα ϑ' μεμνήσονται ὁμιλαδὸν Ἀδανάτοιο,
Καὶ ποτὶ μιν τρέψονται ὁμόφρονα πείρατα γαίης.
Καὶ ἱκέται σοί γ' ἔσονται πάντ' ἔθνεα λαῶν,
Προσκυλινδόμενοι, κὴ μυρία φῦλ' ἀνδράπων.
28 Καὶ γὰ ὁ Ἀδάνατ⊙ σκῆπτρόν τ' ἔχει ἠδὲ δέμισας·
Καὶ λαῶν, ὅσσοι περ ὀπὶ χθονὶ ναιετάουσι,
Πάντων μὺ κρατέει μῆν⊙, πάντεσσι δ' ἀνάσσει.
29 Πάντες οἱ ἁρνειοὶ κὴ πίονα οἶκον ἔχοντες
Οἷα πάρεσιν ἔδονται ὀπὶ ζείδωρον ἄρουραν
Ὡς δ' ἔφαγον, λιτανεύσουσιν Θεὸν αἰὲν ἐόντα·
Τῷ ϑ' γόνυ κλινέουσιν ὅσοι ἐπὶ γαῖαν ἔδυσαν·
Οὐδέ θ' ἑὸν τις ζωχρήσεως ἐδιώσατο θυμόν,
Οὐδέ θ' ἐῇ ψυχῇ παλινάγρετον ἔμμεν' ἔδωκεν,
Οὐθ' ἑλετίλῃ, ἐπεὶ ἄρ κεν ἀμείψε⊙ ἔρκ⊙ ὀδόντων.
30 Ἔσαι τις σ' ἀνδρῶν γενεὴ μετόπιθε κὴ αἷμα
Αὐτὴν δεδιλότων, οἳ μιν θ' ἀζοίατο θυμῷ·
Αὖτη κὴ γενεὴ κεκλήσε⊙ Ἀδανάτοιο,
Οὕνεκά μιν τίμησαν, ἑοῖς τ' ἐπέεσσι πίδοντο.
31 Τῇ ϑ' δικαιοσύνῃ, ἔργον δέ τε οἷον ἔρεξεν,
Ἣ κεν ἀοίδιμον ἦσι κὴ ἐσομένοισι πιδέσθαι,
Οἳ τόδ' ἔπειτ' ἐρέουσι κὴ ἀνδράσιν ὀφιγόνοισιν,
Ὀφίγονοι δ' ἑτέροισι, κὴ ὀφιγόνων ὅτι παῖδες,
Καὶ παῖδες παίδων, τοί κεν μετόπιθε γλύωνται.

Ψαλ.

Ψαλ. κγ'. 23.

1 Ποιμαίνει μου Θεός ἐστιν, ὁ δ' ἐνδυκέως με κομίζει·
Οὔτέ ποτ' ἦν βρώμης δευήσομαι, οὔτέ του ἄλλου.
2 Ἐν χλοερῇσι νομοῖσι, καὶ ἐν νεοθηλέϊ ποίῃ,
Ἔνθα μ' ἄγων ἀνέπαυσεν ἐφ' ὕδασιν ἥκα ἑέουσιν.
3 Πολλάκι μοι ζώγρησε κακῶς κεκαφότα θυμόν,
Ἂν δ' ἄγαγε ψυχαὶ ὀλιγηπελέοντι φέρεσθαι·
Ἠδέ μοι ἠγεμόνευσεν ἐν ἰθείῃσιν ἀταρπιτοῖς
Οὕνεκ' ἔνεκ' ὀνόματος, καί τ' ἔπλετο πομπὸς ἀπήμων.
4 Εἰ γὰρ ἂν ἄγκεα βαίνω ἐνὶ ζόφῳ ἠερόεντι,
Ἦ σκιὴ ὀλομένη ναίει μέλανος θανάτοιο,
Ἀλλ' οὐδ' ὣς τι κακὸν δείσω φρεσίν, οὐδέ τε λίλιω
Ταρβήσω, ὅτι σὺ ξυὼ ἐμοὶ ἅμα· σὴ δέ τε ῥάβδος
Σκηπάνιόν τε τεὸν μέγα μοι θελγμύθιον ἔσται.
5 Δαῖτα δέ μευ προπάρoιθεν ἐφωπλισας, ἠδὲ τράπεζαν,
Εὐδαται πίλλ' ὀπιθεὶς, πτλ' ἄλγεα δυσμενέεσσιν,
Οἵ κέ με λεύσσωσιν θαλέων ἐμπλησάμενον κῆρ.
Ἔχρισας κεφαλήν μευ, ἰδ' ὑλειψας λίπ' ἐλαίῳ·
Πλεῖον ἔμοιγε δέπας ὦ ὄπιστερὲς ἠδέος οἴνου
Ἔπλεθ', ὑπερχειλής τε κύλιξ, μεθύουσα ποτῆτι.
6 Ἦ μοι ἐυπειὴς ἐλεημοσύνη τ' ἐρατεινὴ
Ἕψονται φύλακες καὶ ὀπάονες ἤματα πάντα,
Ἕως ἔτι πνοιῆσι μετέσομαι· ἐν δὲ Θεοῖο
Δώμασιν οἰκήσω, μθύεω δέ τε ναιετάω αἰεί.

Ψαλ. κδ'. 24.

1 Ἀθανάτου πόλε γαῖα, καὶ ὅσσα τε γαῖα κεχάνδει
Κόλπῳ ἐν εὐρυχόρῳ. τῷ δ' ἔπλετο πᾶσα θεὶ χθών,
Πάντες θ' οἳ ναίουσιν ὑπὲρ χθονὶ πυκνοτείρῃ.
2 Τὼ γὰρ τ' ἐξέζωσεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Πῆξέν τ' ἀσφαλέως ποταμοὺς ὑπὲρ καλλιρεέθρους.
3 Τίς νύ κεν ἀμβαίη βεβοὺς εἰς ὄρος Ἀθανάτοιο;
Κεῖθι ἢ τίς στήη, ὅθι οἱ ἕδος ἱερὸν ἔστι;
4 Τῷ τ' εἰσὶν καθαραὶ χεῖρες καὶ κῆρ ἀμίαντον·

Οὐδέ ποθ' ἱῷ ψυχῇ μάλ' ὤμοσεν ἀρραδίῃσιν·
Οὐδ' ὀπίοχον ὄμοσεν, ἵν' ἀνέρας ἐξαπατήσῃ·
Ὄλβον ὅγ' εὐθενίῃ τ' ἐξ Ἀθανάτῳ ἅλις ἕξει,
Τῷ τ' οὐ μεγεσίη ἔσετ' ἐκ Θεοῦ ὀλεπύς,
Ὅς μιν ἔθων ἐσάωσε, κακῶν τ' ἐρρύσατο πάντων.
Ἦδ' ἀνδρῶν γενεὴ, οἵ τε φρεσί μιν ποθέουσι,
Σπουδῇ τε ζητεῦσιν, ἐπεί σφεας ἵκετο αἰρεῖ,
Οἵ Ἰακωβιάδαι, μέμασαν δ' ἔθεν ἔντα παρεῖναι.
Ἄν δ' οἴγεσθε, πύλαι, καὶ ἀείρετε ὑμὰ κάρηνα,
Ἠρέθεσθ' ὔμμες, θύραι ἱεραὶ, αἰὲν ἔοσαι·
Ὄφρα κεν εἰσέλθοι ὑμέων Λαὸ πεπαμμένων
Κύδιστος Βασιλεύς, ὅ τε κλέος ἄφθιτον αἰεί.
Τίς δ' ὅγε κύδιστος Βασιλεύς, ὅ τ' ἄφθιτον εἶει
Τὸ κλέος; Ἀθάνατος, τοῦ τε θέος ἐκ θάπειτιν,
Ἀθάνατος, κρατερός τε καὶ ἴφθιμος πολεμιστής.
Ἄν δ' οἴγεσθε, πύλαι, καὶ ἀείρετε ὑμὰ κάρηνα,
Ἠρέθεσθ' ὔμμες, θύραι ἱεραὶ, αἰὲν ἔοσαι·
Ὄφρα κεν εἰσέλθοι ὑμέων Λαὸ πεπαμμένων
Κύδιστος Βασιλεύς, ὅ τε κλέος ἄφθιτον αἰεί.
Τίς δ' ὅγε κύδιστος Βασιλεύς; ταμίης πολέμοιο,
Ἀθάνατός τ' ἀρχὸς φραπάων· ὅτος ὅγ' ὄξι
Κύδιστος Βασιλεύς, ὅ τε κλέος ἄφθιτον αἰεί.

Ψαλ. κέ. 25.

Ἀθάνατε, ὡς περ σὸ φρένα μοὶ καὶ θυμὸν ἀείρω.
Σοί γε πέποιθα, Θεός μου, ἐλεγχέα μή με πθείης·
Μηδὲ κατ' αἶσχος ἐμοὶ χάσαις κακὸν, ἐλπίδ' ὀλέσσας,
Μήτ' ἐχθρές μου ἔασον ἐμοὶ ἔπι δ' ἀχετάσθω.
Ἀλλά γε πάντες, ὅσοι πίσυνοι μάλα σοί-γε πέλονται,
Λαὸς ἄμμορες εἶεν, ἐλεγχείης τ' ἀλεγεινῆς,
Μήτ' αἰσχυνθεῖεν, μήτε σφίσιν ἐλπὶς ὄλοιτο,
Ἐθλὸν ὀϊοιδμοῖς· τοὶ δ' αἰσχυνθεῖεν ἅπαντες,
Ὅσσοι ὑπερφίαλοι καὶ ἄπιστοι μάλ' ἀλίτοντο.
Δεῖξον ὁδός μοι, Ἄναξ. καὶ σάς με δίδαξον ἀταρπούς.
Τῆς δέ τ' ἀληθείης σύ-γε μοι ὁδὸν ἡγεμόευε,

Ὅπως

Ὅππως μὴ ἀλεγεινὰ ἰὼν ποτε· καί με δίδασκε,
Ὅτι Θεὸς σύ μοι ἐσσι, φόως τε μέγ', ὅς με σάωσας·
Σοὶ πᾶσυός τε μάλα ποτιδέγμενος ἤματα πάντα.
6 Νῶν δ' ἵλαθι, Ἄναξ, μνῆσαί τ' ἐλέοιο τεοῖο,
Σῆς τ' ἀγανοφροσύνης, ἐπεὶ σὺ μάλ' ἤπιός ἐσσι
Αἰὲν ἀπ' ἀρχῆθεν, φίλα τε φρεσὶ μήδεα εἰδώς.
7 Μή ποτέ μοι ἥβης ἀλιτήματα βάλλ' ἐνὶ θυμῷ,
Μηδέ τ' ἀταθαλίης μιμνήσκεο νηπίης τε·
Οἷδ' οἷαι νέῳ ἀνδρὶ ὑπερφιάσαι τελέθουσιν,
Ὅσσα τ' ἔρεξα πάλαι, εἴων ἔπι τηλίκος ἦα·
Τῶν δ' ἔκλησις ἔοι, μηδὲ μνήσαιό γε πάμπαν.
Καὶ δ' ἔλεον σὸν, Ἄναξ, μιμνήσκεο μᾶλλον ἐμεῖο,
Σεῖο δ' ἐνηείλιν, κὴ μείλιχον ἔνθεο θυμόν.
8 Ἀθάνατος δ' ἐὺς ὄσσι, κὴ εὐδικίῃσι κέκασσο·
Τέκνα ἀλιτῆας ἄνδρας, ὅσοι τ' ἀφάμαρτον ὁδοῖο,
Ἰθεῖάν τε διδάξει, ἰδ' ἔσαι πομπὸς ἀπήμων.
9 Οἳ δ' ἀγανοίτ' εἰσὶν, κὴ ἐνηέα θυμὸν ἔχουσι,
Τοῖσι δίκην φεφόρων ὑποθήσεται, ἠῦ τε κέλευθον.
10 Ἀμφότερον δ', ἔλεός τε, ἀληθείη τε πέλονται
Πᾶσαι ἅμ' Ἀθανάτοιο ἀταρπιτοὶ ἠδὲ κέλευθοι,
Ἀνδράσιν οἳ ἐφύλαξαν ἃ θέσφατα, σωθέσας τε.
Αἱ μὴ ἐαὶ ὁδοί εἰσιν, ἢ ἔνθ' ἢ ἔνθα κιόντος.
11 Ἀλλά σε λίσσομ', Ἄναξ, ὑπὲρ ὀνόματός γε τεοῖο,
Φείδεο καὶ μ' ἐλέαιρ', ὅτι σοι ἀλιτήμβιός εἰμι.
Καί μευ ἀταθαλίη ἵλαθ', ἐπεὶ ἄασετός ὄσσι.
12 Ἀθάνατον τίς ἀνὴρ φρεσὶν ἔζεται ἠδὲ φοβεῖται;
Τόν δ' οὐ ἀζηνήσει, πομπός τέ οἱ ἔσετ' ἀπήμων
Εἰν ὁδῷ ἐξαίτῳ, ἢ θ' οἱ καταθύμιός ὄσσι.
13 Ἀφνειός τ' ἔσεται, μηύεει δέ οἱ ἄασετος ὄλβος
Ἔμπεδος, ἠδέ τι οἱ θυμὸς δώσει ἐάων·
Καί κεν ἐὴ γενεὴ τῶδ' αἵματος ἐκγεγαῶτες,
Κλῆρον ἔχοιεν ἄλις, γλυῦ τε κτησίατ' ὀπάσσω.
14 Τοῖσί μιν ἀζομένοισιν Ἄναξ ἐὰ δήνια φαίνει,
Ὅσσα τε κεκρύφαται ἑτέρῳσι, σφίσιν ἀμφαδὰ θῆκεν,
Ὅρκια πρὸς θ' ὁμῶς, καὶ ἓῦ μελεδήματα θυμῷ,

Ὄμματ'

15 Ὄμματ' ἐπ' Ἀθάνατον ποτιδέγμενος αἰὲν ἀείρω,
Ὅττι μευ ἐξερύσει πόδας ἐξ ὀλοοῖο λίνοιο.
16 Καὶ σὺ μετατρέψας, ἐμέ τ' εἰσίδε καὶ μ' ἐλέαιρε
Σχέτλιον, οἷός τ' εἰμί, λύη τ' ἀχεμένους αἰνῆ.
17 Κήδεα μέν μοι ἄέξετ', ἔχω δ' ἄχε ἄχριτα θυμῷ·
Ἀργαλέων με πόνων καὶ οἰζύος ἐξανάλυσον.
18 Εἰσίδ' ἐμὴν ἄτιμον ὀδύσσας τε καὶ ἄλγεα λυγρά·
Ἵλαον ἔνθεο θυμόν, ἄφις τ' ἁλιτήματα πάντα.
19 Φράζεο δυσμενέας μευ, ἐπεὶ μάλα πολλοὶ ἔασι,
Καί ἐμ' ἀπεχθήραν, κατὰ δ' ἔσυγον ἔχθεϊ λυγρῷ.
20 Ῥῦσαι ἐμὴν ψυχήν, καί μοι ὑπὸ λοιγὸν ἄμυνε·
Μή με καταισχύνεσθαι ἔα, ὅτι σοί γε πέποιθα.
21 Οὔνεκ' ἀναίτιός εἰμι, ἰδὺ φρονέων τ' ἐνὶ θυμῷ,
Κῆρ καθαρόν με φυλάξαι, ἐδός τ' ἰθεῖά σαώσαι·
Ὅτι σε νωλεμέως μίμνω ποτιδέγμενος αἰεί.
22 Ἀλλὰ σύ γ' Ἰσακίδησιν, Ἄναξ, ὅλον ἐξέρυσθε ἐλθὼν,
Ῥῦσαι τ' Ἰσράηλον ἅπαν ἐκ κακότητος ἁπάσης.

Ψαλ. κε'. 26.

1 Κρῖνέ μ', Ἄναξ, ἵνα σοὶ ὄπι ἴσομαι πεῖρας ἕλωμαι,
Ὅς κ' ἀμύμων αὐτὸς ἔω, κ' ἀμύμονα εἰδώς.
Ἀθανάτῳ θάρσησα πίσησί τε πᾶσαν ἐπ' ἰδὺν
Οὐδέ κε νευσάζοιμί ποτε φρεσὶ τῷδε πεποιθώς.
2 Πειρῶ ἐμεῖο, Ἄναξ, καὶ δοκίμα κ' ἐτάζε·
Νεφρούς τε καρδίην θ', ὡς ἄρχυσον ἐν πυρὸς αὐγῇ.
3 Σὴ γὰρ ἐνωπὴ μοι ἐναντίη κ' ἐνὶ θυμῷ·
Καὶ δὴ τ' ἀληθείῃ σευ ἐμὰς ἴδυνα κελεύθους.
4 Οὐκ ἐγὼ ἠπεροπεῦσι κ' αὖτως ψευδομύοισιν.
Ἀνδράσιν ὠμίλησ'; ἃ μοι ἄδε τῶνδε δόωκος·
Οὐδέ θ' ὁμάρτησα κρύβδην κακὰ μηδομένοισιν.
5 Ἀλλ' ἀγορὴν ἤχθηρα βεστῶν κακὰ μηχανοώντων,
Οὐθ' ἕταρός ποτ' ἔην, ἔθ' ἵζον τῶνδ' ἐνὶ βουλῇ
Οὐλομένῃ, οἷς τ' αἰὲν ἀέσυλα ἔργα μέμηλε.
6 Χεῖρας νιφάδνωσι, καὶ μευ ξύπα πάντα καθήρας,
Ὡς σὸν, Ἄναξ, ὠδεῖ τ' ἀμφὶ τ' ἴω περικαλλέα βωμόν.
7 Φωνῇ ἀειζήλῃ ὡς θαύματά σευ καταλέξας Πεί-

Πρόχλυτ ἐπαινήσω, σά τε μέρμερα ἔργα δείπω
Πάντα μάλ' ἀμφαδίην, ἵνα κ' πευθοίατο λαοί.
8 Οἶκον, Ἄναξ, κλισίην τε τεὴν περὶ κῆρι φίλησα,
Καὶ ἕδος, ᾧ σὸν κῦδος ἀγάλλεται, ἔνθα τε ναίει.
9 Μήποτ' ἐμὴν ψυχὴν μετ' ἁμαρτινόοισι πτεάνης,
Μηδέ τ' ἐμὴν αἰῶνα μετ' ἀνδράσιν αἱματοέσσι·
Μηδ' ὁμὸν ἄμμι κακὸν, μία τ' ἀμφοῖν μοῖρα γένοιτο.
10 Οἵ γε σφῇσί τε χέρσ' ἔρδουσιν ἀταύθαλα πολλά.
Δεξιτερῇσί τε πολλὰ κ' ἀγλαὰ δῶρα δέχονται.
11 Αὐτὰρ ἀμύμων ἔσομ' ἐγὼ κ' ἀμύμονα εἰδώς·
Περφερονέως σύ με ῥῦσαι ὤ' ἐκ κακῦ, ἠδ' ἐλέησον.
12 Ἀσφαλέως ποσὶν ἑστήκειν ὁμαλῷ ἐνὶ χώρῳ·
Ἀνδρῶν εἰν ἀγορῇσιν, Ἄναξ, τεὸν αἶνον ἀείσω.

Ψαλ. κζ'. 27.

1 Ἀθάνατος φάος ἐστὶν ἐμὸν κ' ἀθέσφατον ἄλκαρ,
Ὅς τέ με ῥεῖα σώσει· τίς ἔτ' μοι τάρβος ἐνόρσει;
Ἔρμα βίοιο Ἄναξ· τίς τ' ἔτ' με δεδίξεται ἀνήρ;
2 Ὁππότε μοι χείμφθησαν ἐπαΐξαντες ἀλεῖται,
Δυσμενέες τ' ὀπί μοὶ κ' ἀνάρσιοι ἄνδρες ὄρωσαι,
Ὠμὸν βεβρώθειν μεμαῶτες θυείδι λύσῃ,
Καὶ χροὸς ἆσαι, ὀλισθόντες πέσον ἠδ' ὀλέκοντο.
3 Εἴ μοι ὅπὶ στρατὸς ἦλθ', ἅμα τε στίχες εἵατο λαῶν,
Οὐ λίλιω ταρβήσω ἐνὶ φρεσὶν, οὔθ' ὑποδείσω.
Εἴ τ' ἄρ κεἰ ὄπὶ μοὶ πόλεμος πολύδακρυς ὄρηται,
Θαρσήσω δέ κ' ὥς, καί μοι νόος ἄτρομος ἔσται.
4 Ἓν τόδ' Ἄνακτ' ᾔτησα πάρος, τόδέ τ' εὔχομαι ἔμμι,
Ὡς τε Ἀθαναίτοιο δόμῳ ἔνι ναιετάοιμι
Νωλεμὲς ἤματα πάντ', ὄφρα ζωοῖσι μετείω,
Κάλλος ἐόν τ' ἐσιδεῖν, καὶ ὃν ἱερὸν ἐξερεείνειν.
5 Ἦ γὰρ ἐνὶ κλισίῃ με κρύψει ὀϊζυρὸς ὧρη,
Ἐν δ' οἴκοιο μυχῷ κευθμῶνί τε ῥεῖα καλύψει·
Στήσει δ' ἀσφαλέως πέτρῃ ἔπι ὑψόσ' ἀείρας.
6 Νῦν δ' ὑπὲρ ἀντιόων, ὅσσοι περιναιετάουσιν,
Ὑψοῦ μοὶ τε κάρη, κῦδος δέ μ' ὑπέρτερον ἔξω.

Τύγεν

Τοὕνεκ' ἀγαλλόμενός μιν ἐπαινέσω, ἱερὰ καλὰ
Αὐτῷ ἐνὶ κλισίῃ ξέξας κεχαρηότι θυμῷ·
Μέλψομαι Ἀθάνατον, λιγυρῇ ἀναμέλψομ' ἀοιδῇ.
7 Ἀλλ' ἵληθι, Ἄναξ, καί μευ βοώοντος ἄκουσον·
Σώθεο, καί μ' ἐλέησον, ἐμῆς τ' ὀπικέλωθι φωνῆς.
8 Εἶπεν ἐμὴ κραδίη, καὶ ἐνὶ φρεσὶ θυμὸς ἄηγλυ,
Ὡς λίλιο μοι ἔσικε, σὺ δ' ἔν θαμὰ καὶ τὸ κελεύεις,
Πολλά σε λίσσεσθαι, ἱκέτιν δέ τοι ἔμμεναι ἄντην·
Πολλά σ', Ἄναξ, λίσσομαι, ἱκέτης δέ τοι ἔσσομαι ἄντην.
9 Μὴ ἀγανὴν ἀπ' ἐμεῖο τελὼ τρέπε τηλόθ' ὀπωπήν,
Μηδὲ κότῳ ἐμέθεν νοσφίζεο σῷ θεράποντος·
Ὄς τέ μοι ἔρμα τέτυξο, μὴ ἔν ἐμὲ πάγχυ μεθείης,
Μηδέ με καλλείψαις, Θεὸς ὅς τέ μευ ἔοσι φάος τε.
10 Εἴ περ γάρ με πατὴς τε καὶ αὐτὴ ἣ τέκε μήτης
Ἄμφω καλλιπέωσι μεθῶσί τε μῦνον ἐόντα,
Ἀν δ' ἔλετ' Ἀθάνατος, καὶ ἐῷ ἐσαγείρατο κόλπῳ.
11 Ὦ Ἄνα, σιὼ με δίδαξον ὁδὸν, καὶ ἀμύμονι πομπῇ
Εἵνεκα δυσμενέων μοὶ ἄγ' εἰς ἰθεῖαν ἀταρπόν.
12 Μή μ' ἐχθρῶν ποσὶ δοῦναι νόῳ καὶ θέσπι λύσσῃ·
Ψευδεῖς γάρ κατ' ἐμεῖο δόλον ξάπτοντες ἀνέσαν
Μάρτυροι, οἵ τε βίην πνείουσιν ἀπιλείῃ θυμῷ.
13 Καί νύ κεν ἔκ μ' ἔλιπε ψυχὴ, εἰ μὴ ἐπεποίθεα,
Ὄφρα τ' ἔπ ζωέσκον ὅτι χθονὶ πιλυβοτείρῃ,
Ὀφθαλμοῖσιν ὁρᾶν ἔλεον πολιὼ Ἀθανάτοιο,
Καὶ χάειν, οἷός τ' αὐτὸς ἐὺς τε καὶ ἤπιός ἐσσιν.
14 Ἔλπεο δ' Ἀθανάτῳ πίσυνος ποτιδέγμενος ἔμπης·
Θάρσει, ὁ δὲ κραδίη τοι ἐνισάξει μάλ' ἄν·
Ἔλπεο δ' Ἀθανάτῳ πίσυνος ποτιδέγμενος ἔμπης.

Ψαλ. κη'. 2ρ.

1 ΠΡὸς σὲ βοήσω, Ἄναξ, σὺ ἴ μή με πάρελθε σιωπῇ·
Μή ποτέ σευ παυσθέντος ἀνηναμέμφω τε σιωπῇ
Τοῖσιν ὁμοῖος ἔω, οἳ ἔσαν δόμον Ἄϊδος εἴσω.
2 Κέκλυθί μευ βοώοντος, ἐμῶν δὲ τ' ἄκουε λιτάων,
Ὡς λίτομαι ποτί σευ ἕδος ἱρὸν χεῖρας ἀγαχών.

Μή

3 Μή με κακοῖς ἀνδρεσσι. καὶ οἷς φίλον αἴσυλα ῥέζειν.
Σωὸ τ' ἐρύσαις, μηδέ σφιν ὁμὴ ἐμὲ μοῖρα κιχάνοι,
Οἵ τ' εὖ μὲ βάζωσι, κακὰ φρονέουσι δ' ὀνυμῶ.
4 Τίσειαν σφέτερ' ἔργα, κακοξεφίλω τ' ἀλεγεινὼ,
Οἷά τε χερσὶν ἔρεξαν, ἐοικότα μυδὸν ἀερσιντ'
Δός σφιν ἀταθαλίης ὀπιπεύεα πάμπαν ἀμοιβὼ,
Οἷ' ἔρξαν σφιν ὄπαζε, δίκη τ' ἰθεῖα γένοιτο.
5 Οὕνεκ' ἄρ οὐκ ἀλέγωσιν ἐνὶ φρεσὶν ἔργα Θεοῖο,
Οὐδέ ποτέ σφι μέμηλεν ἃ χερσὶν ἕῃσιν ἔρεξε·
Τύς δε λαξέαισι, δεῖμαι δ' αὖτ' οὐκέτι μέλλει.
6 Ἀθάνατος δ' αἰνείδω, ἐμῆς ἐπεὶ ἔκλυε φωνῆς,
Ἔκλυεν οὐχομένης φωνῆς, καὶ ἄκουσε λιτάων.
7 Ἕρμα καὶ ἀσπὶς ἐμοὶ ἔρρὴ ἐς Ἀθανάτοιο,
Τῷ ϑ' πέποιθ' ἐμὸν ἦτορ, ὅ μοι ὀπταίξεται ἔσαι,
Νῶν με καὶ ἴκετ' ἀρωγὴ, ἐπεὶ ὅ μοι ἐστὶν ἀμύντωρ·
Τὔνεκά μοι κραδίη μάλ' ἐϋφροσύνησιν ἰάνϑη,
Καί μιν ἀοιδῇσι κλείω ὕμνοισί τ' ἐμοῖσι.
8 Τῶνδέ τε ἄλκαρ Ἄναξ, ἴλαρ τε φόως τε τέτυκται
Αὐτῷ τῷ βασιλῆϊ, ὃν ἔχρισεν λίπ' ἐλαίῳ.
9 Σὸν λαὸν τε σάω, κλήῃω τε μάλ' ἴλαος εἶης,
Βόσκε τε καὶ μέγ' ἄειρε, ἄειρέ τε νωλεμὲς αἰεί.

Ψαλ. κϑ'. 29.

1 Κλυτὲ μευ λαῶν ἠγήτορες ἠδὲ μέδοντες,
Κάρτεϊ οἳ εὔχεσϑε ϑαλερειδὸν ἔθ' ἄεισοι,
Εἰ μάλα καρτερόι ἐστε, Θεὸς τόγε ὔμμιν ἔδωκεν·
Αὐτῷ ἔν δότε κῦδος (ὃ γὰρ κάρπος ἀπάντων)
Ἀθανάτῳ δότε κῦδος ὁμῶ τιμήν τε βίλιν τε.
2 Ἀθάνατον τιμῆσι γεραίρετε, ὡς γὰρ ἔοικε,
Καὶ δέ ϑ' ἑὸν κλυτὸν ἔνομ' ὑπέρτατόν οἱ δότε κῦδος·
Ἀζόμενοι τιμᾶϑ' ἱερὸν μένος Ἀθανάτοιο,
Ἠδὲ σεβαζόμενοι ᾧ ἐν ϑείκαλλέϊ νηῷ.
3 Φωνὴ Ἀθανάτοιο ἐφ' ὕδασι καὶ νεφέλῃσιν·
Ὑψι Θεὸς βρέμεται, τῷ τε κλέος ἄφϑιτον αἰεί.
Δεινὸν ὅγ' ἐβρόντησε, μέμυκεν δ' ἄασετος αὐδὴρ

Τοῖο δ' ὑπὸ βρυντῇ, τρομέει δέ τε φύλ' ἀνθρώπων·
Ἀθάνατος δὲ καθίζει ἐφ' ὕδασι θεσπεσίοισι.
4 Φωνῇ Ἀθανάτοιο βίη καὶ κάρτος ὀπηδεῖ,
Φωνῇ Ἀθανάτοιο δέος καὶ κῦδος ὀπηδεῖ,
5 Ὡς ὃ μὲν ἐβρόντησεν ἀπ' αἰθέρος ἀτρυγέτοιο,
Οὐρανὸς ἐτιναράγησεν, ὑπεσονάχησε δὲ γαῖα,
Ἔτρεμε δ' οὔρια μακρὰ καὶ ὕλη, ἔνθα δὲ κέδροι,
Κέδροι τοῦ Λιβάνοιο δυώδεες ἐξεήγνυντο,
Ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμβυάων.
6 Ὡς δ' ὅταν ἄχαυλοι πόρτιες ἅμα βοῦς ἀγελαίας
Πᾶσαι ἅμα σκαίρουσι, νέοι δ' ὡς μουνοκέρωτες·
Ὡς Λιβάνου Συρίοιό θ' ὁμῶς αἰπειναὶ κάρηνα
Σκαίρει τε τρομέει τε, Θεοῦ κλύπος ὁππότ' ὀρώρει.
7 Ἀθάνατος βρόντησεν ἐπὶς φλογόεντα βέλεμνα,
Μαρμαρυγῇσι δ' ἐπὶ πυρὸς σέλας αἰθομένοιο
Ἧκεν ἀπ' οὐρανόθεν, ἀμφὶ τ' ἔλαμψεν ἔνθα καὶ ἔνθα,
Δεινὴ δὲ φλὸξ ὦρτο νέφεος ἀμφιελίσσης.
8 Βρυντῇ ὑπ' Ἀθανάτοιο, ὅτ' οὐρανόθεν σμαραγήσῃ,
Νέρθ' ἐλελίχθη μὰ γαῖα, τρομέοντο δὲ βῆσαι,
Βῆσαί τε τρομέοντο, καὶ ἄλσεα μακρὰ Καδήσυ.
9 Φωνὴ Ἀθανάτοιο μογοστόκος ἔς τ' ἐλάφοισι,
Καὶ δάμνους γύμνωσε βαθείης τάρφεσιν ὕλης·
Πάντες δ' ᾧ ἐνὶ νηῷ ἔον κλέος εὐρὺ λέγουσιν.
10 Ἀθάνατος δὲ καθίζει ἐφ' ὕδασι καὶ νεφέλῃσιν,
Ὕψι μάλ', ἔνθ' ὄμβρων ταμίης ἄνδρεσσι τέτυκται,
Ἔνθα καὶ Ἀθάνατος βασιλεύει νωλεμὲς αἰεί.
11 Ἀλκὴν δώσει Ἄναξ ᾧ λαῷ· τοῖο δ' ἔκητι
Ὦ λαῷ ὄλβος τε καὶ εἰρήνη ἅλις ἔσται.

Ψαλ. λ'. Ζ 0.

1 Ὑψώσω σε, Ἄναξ, κλείω δ' ὕμνοισιν ἐμοῖσιν,
Οὐκ ἐχθρούς μ' ὑψοῦ ἄειρας, ἀνήγαγες ἐκ τε βερέθρου,
Οὐδέ με δυσμενέεσσιν ἀδουρμά τε χάρμα τ' ἔδωκας.
2 Πρὸς σέ, Ἄναξ, ἐβόησα, Θεός μευ, πολλ' ἱκετεύων·
Καὶ σύ γέ μοι ἰητρός, ἀκέσαό τ' ἄλγεα πεύσας.
3 Ὦ Ἄνα, σὺ ψυχήν μευ ἀνήγαγες ἐξ ἀΐδαο, Εωγρή

Ζωγρήσας, ἵνα μὴ ὑπὸ χθονὸς ἴω, ἔς τε βέρεθρον.
4 Μέλπετε Παμβασιλῆϊ, ὅσσοι οἱ ὀπάονές ἐσσε
Ἁγνοὶ ἀμώμητοί τε, καὶ οἷς νόος ὄζεται ἀσκῆς·
Τῷ δέ τε ἱερὸν οὖνομ' ἀείδετε καὶ κλέος ἐσθλόν,
Μνημοσύνῃσι δ' ὕμνοισιν ἀγάλλετε θεσπεσίοισιν.
5 Οὐ μὰ γάρ τ' ὀπὶ δηρὸν ἐὸς χόλος, ἀλλὰ μίνυνθα,
Ἡ δὲ χάρις ζωοῖσι διαμπερὲς αἰὲν ὀπηδεῖ.
Εἰ κεν καὶ ἀνὰ νύκτα γόος κλαυθμός τε γένηται,
Πρωὶ δὲ εὐφροσύνη, ἅμα τ' ἠοῖ χάρμα πέφανται.
6 Ὄφρα μοι ὄλβος ὀπήδει, ἔφην ἔμεν ἔμπεδος αἰεί·
Οὐδέ τι θυμὸς ἔολπε κακὸν πείσεσθαι ὀπίσσω.
7 Σὺ κράτος οὔρεϊ μευ, καί μοι σθένος ἔμμεν ἔδωκας,
Ἀθάνατ', αὖθι μένοντα, φίλα φρονέων ἐνὶ θυμῷ·
Ὡς δ' ἀγανὰ ἀπ' ἐμεῦ ἔσσε τρέπες, ἤχθετό μοι κῆρ.
8 Πρὸς σὲ, Ἄναξ, ἐβόησα, καὶ Ἀθάνατον λιτάνευσα.
9 Τί χραίσμῃ ἐμὸν αἷμα; τί πότμος μευ μέγ' ὄνειαρ,
Εἰ ποτέ κεν θανέοιμι, χυτὴ δέ με γαῖα καλύψαι;
Ἦ ξύ' ὑπέρθεν ἔσσα κόνις τεὸν αἶνον ἀείσει;
Ἠδὲ τελὼ ἐτέρῃσιν ἀληθείην καταλέξει;
10 Κλῦθί μευ, Ἀθάνατε, ξυίες ὦκά τε, καί μ' ἐλέησον,
Καὶ ἵλαθι, Ἄναξ, ἠδ' ἴκεό μοι ἐπαρωγός.
11 Νῦν δέ μοι αὖτε κακῶν δῶκας χαρίεσσαν ἀμοιβήν,
Πένθεος εὐφροσύνην τε καὶ ἱμερόεσσαν ἀοιδὴν,
Ὀρχηθμόν τε γόοιο, χοροιπυκίην τ' ἐραεινήν·
Ἠδέ με γυμνώσας ξανθέων ὥρεϊ χάρματα ἔσσας.
12 Ὄφρα σε κῦδος ἐμὸν πιμήσῃ κηρόθι μᾶλλον,
Γλῶσσά τέ μευ ὕμνοισι διηνεκέεσσιν ἀείσῃ,
Μηδ' ἀκέουσα γένηται, ἐπεὶ ἐξῆρχεν ἀοιδῆς.
Ὦ κύδιστε Ἄναξ, ὅς μοι Θεὸς ἔπλεο μοῦνος,
Ἦ σε μάλ' αἰνήσω, κλείω δέ τε νωλεμὲς αἰεί.

Ψαλ. λα'. 3ϕ.

1 Σοὶ, Ἄνα, θάρσυνός εἰμι, σύ μοι κράτος ᾧ τε πέποιθα·
Μή με καταισχύνῃς ἔα ποτὲ, μηδέ τι λώβην
Βλάψαι· εὐδικίῃ σῇ ἔῦσαί μ', ἠδὲ σάωσον.

2 Κέκλυθί μοι φωνῆς, ῥῦσαί τέ με ὀτλιτάλγεα·
Πέτρη μοι κρατερή τ' εἶπε, καὶ ἀθέσφατον εἶλαρ,
Ἀσφαλὲς, ἔνθα φυγὼν ἀσκηθὴς αἶψα γήσωμαι.
3 Πέτρη γὰρ σύ γέ μοι, καὶ πύργος ἀμήχανός ἐσσι·
Τῷ ῥά μοι ὀνόματος τεῦ εἵνεκα πομπὸς ἰόντι
Γίνεό τε στεῖχων, καί μοι ὁδὸν ἡγεμόνευε.
4 Ἐξέρυσαί με λίνοιο, τό μοι δόλῳ ἄνδρες ἔθηκαν
Λάθρη· ἐμὸν γὰρ σὺ κράτος ἐσσί, καὶ ἄσπετον ἄλκαρ.
5 Τοὔνεκ' ἐπέτρεψα ψυχήν μευ χερσὶ τεῇσι·
Μυεῖ' ἄπαινα δίδοὺς σύ μ', Ἄναξ, θανάτοιό τ' ἔλυσας,
Ὃς ἦρ ἀληθείης Θεὸς ἔπλεο, καί με σάωσας.
6 Ἐχθροί μοι τὰ μάταια μετ' φρεσὶ μὰψ ἀλέγοντες·
Ἀθανάτῳ δὲ πόποιθ', αὐτῷ δέ τε θάρσοσύνη εἰμι
7 Σῇ ἀγανοφροσύνῃ χαιρήσει μοι φίλον ἦτορ,
Γηθήσει δέ τε θυμὸς ἐνὶ στήθεσσιν ἐανθείς·
Κήδεο γὰρ μυρίον ἐμεῦ ὤπασ' ὀϊζύος αἰνῆς,
Ψυχῆς τ' εἰνὶ πόνοισιν ἐμῆς ὄφθ' ἡδὶ ἀλέγιζες.
8 Οὐδέ με δυσμενέων ἀνδρῶν ἐνὶ χερσὶν ἔεισας·
Ἐς δ' ὁδὸν εὐρυτέρην πόδας ἤγαγες ἐκ στεινωποῦ.
9 Ἀλλά μ', Ἄναξ, ἐλέησον, ἐπεὶ κρατὸς ἄλγεα πάσχω,
Τειρόμενος δ' ὀδυνῇσι δεδύηκε τέτηκα,
Ὀμματά τε ψυχήν τ', ἠδὲ γαστέρα πολλὰ ἀχέουσαι,
10 Ὡς μοι ὀϊζυρῷ βίῳ ἄντεται ἡδὶ ἐνιαυτοί,
Δάκρυσι καὶ στοναχῇσι καὶ ἄλγεσι λευγαλέοισιν·
Οὐδέ μοι ἴς ἔπι λείπει ἐνὶ γναμπτοῖσι μέλεσσιν,
Οὐδὲ βίη, φθινύθει δέ τ' ἀταθαλίῃσιν ἐμῇσιν,
Ὀστέα δ' αὖα σέσηπε, κατεσκλήκασι δὲ γῦα.
11 Δυσμενέων δ' ἀνδρῶν λώβη, καὶ ἐπόψιος ἦα
Πάντων, σφὶ δὲ μάλιστ', οἳ γείτονες ἦσαν ἐμεῖο,
Γείτονες ἠδὲ ἔται με κατέσυγον, ἀμφὶς ἰόντες·
Ὅσσοι καί με θύρηφί ποθ' ὀφθαλμοῖσιν ὁρῶντο,
Ὡς ἴδον, ὡς ἔφυγον, καὶ ἐμεῦ ἄπο νόσφι λίαθεν.
12 Ἔκλησις δέ μευ ἔξιν ἐν ἀνδράσιν ἠύτε νεκροῦ,
Οὗ τε καὶ ἐκλελάθοντο πάλαι καταθνητῶτος,
Οὐδέ τις αὐτῶ μνήμη ἐν ἀνθρώποισι λέλειπται·

Ὡς

Ὡς ἐμεῦ ὅπις ἐνὶ κραδίῃ ὄθετ' ὔτ' ἀλεγίζει·
Ἄγγελος δ' ἰχελός εἰμι ἀχερωΐῳ, ὅππότ' ὄλωλεν,
Ἠδ' ἐάγη, τὸ δέ τ' αὖψα κολὸν γίνεθ', οὐδενόσωρον.
13 Πολλῶν ὕβριν ἄκουσα κακιὼ ὀπιπερτομέοντων·
Οὐδέ πω ἀσκηθὴς πάντη δέος, ἤ ποτ' ἔην γε·
Εως οἱ ὁμοῦ ὅπι μοὶ ὀλοφώια δήνεα ὕφαινον,
Σωὶ δέ τε φραζόμενοί μοι ἀτάσθαλα μηχανόωντο,
Ἱέμενοι κλῖναι, καί μευ ὑπὸ θυμὸν ἐλέσθαι.
14 Αὐτὰρ ἐγὼ πίσυνός σοι, Ἄναξ, Θεὸς εἶς σύ μοι, εἶπον.
15 Ὧραί μευ μοῖραί τε βίου ὅπι σοί γε πέλονται·
Δυσμενέων ἀνδρῶν ῥῦσαί με ἐκ παλαμάων,
Διώκων ἔκ τε βίης, ὅσοι κακά τε φρονέουσι.
16 Μειδιόων ἀγανοῖσι προσώπασι σὸν θεράποντα
Εἴσιδε, καί με σάωσον ἐνεικείης ἕνεκεν σῆς.
17 Μή π καταισχύνωμαι, Ἄναξ, ἱκέτης ὅ τοι εἰμί·
Ἀλλὰ καταισχύνονται ἀλιτροὶ, καδδὲ σιωπῇ
Ἔλθωσ' εἰς ἀίδαο, κακῶς τ' ὑπὸ πάμπαν ὄλωνται.
18 Χείλεα, τῆς αἰεὶ φίλον ὄζει ψεύδεα βάζειν,
Σχοίατ', ἀκλυτά τ' εἶεν, τά τε λωβεύουσι δικαίους,
Κερτομέοντ' αἰσχροῖσιν ἀταρηροῖς τ' ἐπέεσσιν,
Ὕβρει ἐξ ὀλοῆς, καὶ ἀγηνορίῃσι νόοιο.
19 Οἷ', ὅσα τ' ἐθλὰ πέλει, ἄ, τε σοι κειμήλια κεῖται,
Ὄφρ' ἔῃ αἰὲν ἐτοῖμα, σέ τ' αἰδομένοισιν ὀπάσαι,
Ὡς ἐθέλεις, ἄ, τε σοί γε πεπιθόντας ἄνδρας ἔρεξας
Ἀμφαδίην, ὄφρα γνώωσί τε φῦλ' ἀνθρώπων.
20 Θήσεις σφέας τοι ἐς ὦπα, καὶ ὀφθαλμοῖσι τεοῖσιν
Ἀρτεμέας τε σύες θ', ὡς ἐν κευθμῶνι φυλάξεις.
Ὕβρει ἔκ τε κακῆς ἀνδρῶν ὑπερφανεόντων,
Ἐκ τ' ἄτης ὑπάγων, γλωσσάων τ' οὐλομένάων
Νείκεος ἐκ λυγροῦ, κλισίῃ δέ τε ἀμφικαλύψεις.
21 Αἰνετὸς ἔστω Ἄναξ, ὅ μ' ἐφίλατο, καὶ ἐλέησεν
Ἔξοχα, θεσπεσίως, θάμβος δ' ἔχεν εἰσορόωντας
Οἷά μ' ἔοργ', ὀχυρῇ ἀξέμεν πόλει τ' εἰνὶ πόλῃ.
22 Ἦ ξ' ἐφάμην ἀτεύδων, (φύγαδ' ἔτραπέ με τρόμος αἰνὸς)
Ὡς μετανάστης εἰμὶ τεῆς ἀπάτερθεν ὀπωπῆς,

Πεύχην κακῶς ἀπόλωλα, σὺ δ' ἀκέπι μ' ὄψεαι αὖθις.
Ἀλλ' ἔμπης γε λιτὰς ὅπα τ' ἔκλυες εὐχομένοιο.
23 Ἀμφαγαπάζετε πάντες ἐνὶ φρεσὶ Παμβασιλῆα,
Οἵ ἑ ὅσιοι ἐοί ἐσθ'· ὅτ' Ἄναξ πιστοῖσιν ἀμύνει,
Ἠδέ θ' ὑπερφιάλοισιν ἐοικότα μισθὸν ἀπάζει.
24 Ἀνέρες ἔσθ', ὅ δέ τ' ὔμμιν ἐνισάξει μένος ἠΰ
Πᾶσιν ἐνὶ κραδίῃ, οἳ Ἄνακτί γε θαρσαλέοι ἐστε.

Ψαλ. λϛ'. 32.

1 Τρὶς μάκαρ, ᾧ περ ἀπαθαλίης κακὰ λεσμὰ λέλυσται,
Τοῖς ἥλω τὸ πάρος, κεκάλυπται δ' πάμπαν ἁμαρτάς.
2 Τρὶς μάκαρ οὗπος, ᾧ ἀμπλακίην Θεὸς οὐκ ἀνέθηκεν,
Οὐδέ τ' ἀλιτροσύνῃσι, πρὶ τ' οὐ δόλος ἔς ἐνὶ θυμῷ.
3 Ὄφρ' ἀκέων ἤμυν, σιγῇ τ' ἀλιτήματ' ἔκευθον,
Ὀστέα μοι φθινύθεσκε παντμερίῳ γοόωντι,
Ὡς μευ ἀκηχεμόθου σοναχὴ ἁλίασος ὄρωρει.
4 Ἤματα γὰρ νύκτας τε σὺν ἔτλην χεῖρα βαρεῖαν,
Πᾶς δ' ἐξηράνθην, ὥς τ' ἐν θέρει αὐχμὸς ἐπύχθην·
Ὡς δ' ὅταν ἔργα βροῶν, κὴ ἀρύρας σίτος ἄζῃ,
Καί τε φέρῃ πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσι,
Τοῖος ἐγὼ γιόμην, ὑπὸ δὲ χροὸς ἰκμὰς ὄλωλε.
5 Σοὶ μὰ ἀπαθαλίην μευ ἀειφραδέως κατέλεξα,
Οὐδέ τ' ἀλιτροσύνην μευ ἐνὶ φρεσὶν ἔνδον ἔκευσα·
Εἶπον, Ὑποβασίας ἐρέω μευ κέτλια τ' ἔργα
Ἀθανάτῳ, ἄ, τ' ἔοργ' ἀλιτήμονος, οὐδὲ ὀπιδίσω·
Ὡς ἐφάμην· σὺ δέ τ' αὐτὰρ ἐμοὶ ἵλαος ἔπλω,
Καί μοι δεσμὰ λύσας ἀλιτροσυνάων ἀλεγεινῶν
Περφερέων, οὐδ' ὄφελον ἐπίσαο κὴ κακὰ ἔργα.
6 Τῷ σοι ἕκαστος ἀνὴρ, ᾧ τ' ἂν νόος ἦσι θεουδὴς,
Εὔξεται ἤματι τῷ ὅτε τοι φίλον ὄξιν ἀκοῦσαι.
Ἦ ῥα οἱ ὕδατα πολλὰ οὐκ ἄν ποτε ἐγγύθεν ἔλθοι,
Εἴ περ κὴ ποταμὸς χεμάῤῥεος οἷδμα θύῃ.
7 Πὰρ δέ τοι ἐκρύφθην, σὺ δέ τ' ἔπλεό μοι ἀλεωρὴ,
Ἦ σέο εἰμὶ λαθών· σύ μ' ὀιζύος ἐξαναλύσεις,
Πολλάς τ' ἐμβαλέεις φρεσὶ μοι μελιηδέας οἴμας,

Τῆσι τεὸς τ' αἶνος, σύ τ' ἀείσεαι, ὅς μ' ἐσάωσας.
8 Οἶμον ἐγώ σε διδάξω, ὁδῷ ἔνι τ' ἴχνια θήσεις,
Ἥν ἰέναι σοι ἔοικεν, ἐμῇ ὑπ' ἀμύμονι πομπῇ·
Σοὶ βουληφόρον ἔσετ' ἐμὸν, ἠδ' ὀπίσκοπον ὄμμα.
9 Μὴ γίνεσθ' ἵππῳ οὐρῇί τε πάμπαν ὁμοῖοι,
Τοῖς ἄνοος καρδίη, οὐδὲ φρένες ἐντὸς ἔασι·
Καὶ στόμα δ' ἰαχέμεναι χαμοῦ χρειὼ ἠδὲ χαλινοῦ,
Μή ποτε χειμαρθεῖεν, ἠὲ δηλησάατο φῶτα.
10 Ὅς μὲ ἀλιτρὸς ἔῃ, τῷ δ' ἄλγεα πολλὰ λέλεκται·
Ὅς δ' Θεῷ πίσυνος, τὸν δέ τ' ἀμφί τε τόνδ' ἐλεητύς.
11 Χαίρετε δ' Ἀθανάτῳ, ἠὲ ἐϋφραίνεσθε δίκαιοι,
Οἵσιν τ' ἰθεῖα καρδίη, ἀλαλάξατε πάντες.

Ψαλ. λγ'. 33.

1 Χαίρετ' Ἄνακτι δίκαιοι, ἐπεὶ ὁσίοισιν ἔοικε
Τόνδ' αἰνεῖν, καλὸν δέ τ' ἀειδέμεναι χλέος αὐτῷ.
2 Αἰνεῖτ' Ἀθάνατον κιθάρης μελιηδέϊ φωνῇ,
Μελπόμενοι, ἠὲ νάβλῃ ἀείδετέ μιν δεκαχόρδῳ.
3 Κλείετέ μιν μολπῇ, λιγυρὴν ἐντύνετ' ἀοιδὴν,
Ἧπις ἀκουόντεσσι νεωτάτη ἀμφιπέλεται,
Θειοτέως κελαδεῖτε, ἠὲ ἰδρείῃσι νόοιο.
4 Ἐθλὰ γὰρ Ἀθανάτῳ ἔπε', ἔργα τε πάντα δίκαια.
5 Εὐνομίην τε δίκην τε φιλεῖ μέγος Ἀθανάτοιο·
Τῷ δ' εὐεργασίης πλῆτο χθὼν πτολυβότειρα.
6 Οὐρανὸς εὐρὺς ὕπερθε λόγῳ ἠύετ' Ἀθανάτοιο,
Ἔνθα τε κοσμητοὶ στρατοὶ εἵατο, ἠὲ στίχες ἄστρων,
Ἠδὲ τὰ πείρεα πάντα, τά τ' ἠέρα δεσφάνωτο,
Ἃ στόματος Θείοιο τετυγμένα τ' ἦεν ἀϋτμῇ.
7 Ὡς δ' ἁλιῶν' ὕδατα ξυνάγων ἁλὸς, εἰς ἓν ἄγειρε,
Κορθύεται δ' θάλασσα, ἠὲ ἴσταται ἢ ἐνὶ μοίρῃ·
Θῦκε δ' βένθεα πόντε ὑπ' ἠόνεσσι βαθείῃς,
Οἷα ταμείοισιν κειμήλια κείμενα πολλά.
8 Τρόμος γαῖαν ἅπασαν ἔχει φόβος Ἀθανάτοιο,
Δείσειάν τε μιν ὅσσοι ὑπὸ χθονὶ ναιετάουσιν.
9 Αὐτὸς γὰρ τ' ἔπος εἶπε, ἠὲ ἐμμαπέως ἐτέτυκτο,

Αὐτίκα μὴν δ' ἅμα μῦθος ἔλυ, τετέλεστο δ' ἔργον,
Τῦδέ τ' ἐφημοσύνῃ πάντ' οὖ κατὰ κόσμον ἄρηρεν.
10 Ἀθάνατος βελὰς ἐθνέων μεσσηγὺ κολύει.
Καὶ λαῶν ἀλίασε νοήματα, μήδεά τ' ἀνδρῶν,
Ὡς οἵδ' ἂν ὅτι πάσχω τέλος μύθοισιν ἔθηκαν.
11 Δίωσα δ' Ἀθανάτοιο ἀμήμονος ἔμπεδα μίμνει,
Ὅσσα μνωομένῃσι, καὶ ἐξ μελεδήματα θυμῷ
Ἀλλήκτοις γυίῃσι, καὶ ἔσσεται ὄφρ' ἀτέλεστα.
12 Τεὶς μάκαρ, ὃ θεὸς ἐσσὶ ἱερὴ ἰὴς Ἀθανάτοιο,
Ἔθνος τε λαός θ', ὃν ἐλέξατο οἱ κτέρας εἶναι.
13 Οὐρανόθεν καθορᾶται Ἄναξ ἐπ' ἀπείρονα γαῖαν,
Πάντη ὀπιπτεύων, πάντων τ' ἴδε φῦλ' ἀνθρώπων.
14 Ἔνθεν, ἧ οἱ ἕδος ἔξιν, ἐσέδρακεν ὀφθαλμοῖσι
Πάντας ὅσοι περ ἔασιν ὅτι χθονί ναιετάοντες.
15 Συμπάντων τεύξε κραδίας, πάντ' ἔργα νόησεν.
16 Οὐ σίχες αἰχμητέων, οὐδὲ στρατὸς ἄσετος ἀνδρῶν
Ἄλκιμος ἐν πολέμῳ δύναται βασιλῆα σαῶσαι.
Οὐδὲ μέγα κράτος ἄνδρα, ἧ ἴφθιμόν περ ἐόντα,
Ἐξ ἄτης ῥύετ', οὐδ' οἱ ἐπήρκεσε κῆρα μέλαιναν.
17 Ἵππος ψευδαλέος, ἧ ἀμήχανος ἄνδρα σαῶσαι·
Οὐδέ πιν' ᾧ δένει μεγάλῳ ῥύετ', οὐδὲ βίηφι.
18 Ὀφθαλμὸς Θεοῦ ὅδε ἐπ' ἀνέρας, οἵ τε ἑ θυμῷ
Ἄζονται, αὐτῷ τε πεποιθότες, ἕνεκ' ἐνηής·
19 Ῥυσθαί τ' ἐκθανάτου, μή πως σφίσι θυμὸν ἀλέσσῃ,
Καὶ, ὅτε λιμὸς ἔῃ, θρέψαι, ζωούς τε φυλάξαι.
20 Ψυχὴ δ' ἡμετέρη Θεῷ ἔλπεται, ἥδε ἑ μίμνει
Συνεχὲς, ὅς τ' ἀλκαρ καὶ ἀμύητος ἄμμι τέτυκται.
21 Τῷ γὰρ ἀγαλλόμενον κεχαρήσεται ἄμμι φίλον κῆρ,
Εἵλαρ ὅτ' ἔνομ' ἐὸν πέλει ἱερὸν, ᾧ ἐπέπιθμεν,
22 Ἄμμιν, Ἄναξ, ἀγανός τε καὶ ἵλαος ὧδε γένοιο,
Οἷά περ ἐλπόμεθ' αὐτοὶ, ἐπεὶ τοι θάρσυνοί εἰμεν.

Ψαλ. λδ'. Ζ'.

1 Κλείω Ἄνακτα, καί οἱ εἰδέω χάριν ἤματα πάντα·
Νωλεμέως ἐὸν αἶνον ἀνὰ στόμ' ἔχων ἀγαφύσω.

2 Ἀθανά-

2 Ἀθανάτῳ μάλ' ἀγαλλόμενος μάκαρ εὔξομαι εἶναι,
Τῷδέ τε χαίρουσα ψυχὴ ἐμὴ ἀγλαΐεται·
Τὼ δ' ἄνδρες πεύσονται ἐνηέες ἠδὲ πενιχροί,
Οἳ κ' ἀκούσαντες μέγα κεν κεχαροίατο θυμῷ.
3 Δεῦτ' ἄγετε, ξὺν ἐμοὶ ὕμνοισιν ἀείσετ' Ἄνακτα,
Τὸν δ' ὄνομ' ὑψόσ' ἅμα ξυνῇ φορέοιμεν ἀοιδῇ.
4 Ἀθάνατον λιτάνευσα, ὁ δ' ἔκλυεν εὐχομένοιο·
Ἀλλὰ κ' ἐκ παντέων ἐμὲ ῥύσατο ταρβοσυνάων.
5 Οἳ δέ μιν εἰσορόωντο, φόως ὅτι τοῖσι φαάνθη·
Οὔτε κατηφείης νέφεϊ σκιόωντο πρόσωπα.
6 Πόλλ' ἠρᾶθ' ὅδ' ἀνὴρ κεχρημένος, ἠδ' ἐβόησεν·
Ἀθάνατος δ' ἐπάκουσε, κακῶν τ' ἐκ ῥύσατο πάντων.
7 Κυκλόσε δ' αὖλιν ἔθηκεν ὁ Ἄγγελος Ἀθανάτοιο
Ἀμφὶ μιν αἰδομένοισιν, ἀρὴν τ' ἀπὸ τοῖσιν ἄμυνε.
8 Γεύσασθ' ἠδ' ἴδεθ' οἷος Ἄναξ ἀγαθὸς κ' ἐνὶ μύθοις·
Τρὶς μάκαρ ὅστος ἀνὴρ, ὃς ἐνὶ φρεσὶ τῷδε πέποιθε·
9 Ἄζεσθ' ὔμμες Ἄναχθ', ὅσιοι ἐοὶ οἵ νύ πέρ εἰσι·
Ὅτ|ι μὲν ἀζόμενοι ὔ τευ ἀπόδευέες εἰσί.
10 Χρειὼ μὲν λιμός τε κιχάνει τέχνα λεόντων·
Οἳ δ' ἀγαθοὶ ἔασι, ἀβρώμης ὅτέ του ἄλλω
Ἐσθλῶ δεύσονται, ὅτε χρειὼ ἵξεται αὐτούς.
11 Δεῦτ' ἄγετ' ἔν φίλα τέκνα, ἐμῆς δ' ἐπακούετε φωνῆς·
Εὐσεβίλιν δέ τε ὔμμε φόβον τε Θεοῖο διδάξω.
12 Τίς κεν ἀνὴρ ἐθέλει δηθὰ ζωοῖσι μετεῖναι,
Καὶ ἔραται αἰῶνος, ἑάων ὄφρα τ' ἐπαύρῃ,
Ἦδ' ἀγαθὸν ζώῃσι βίον θαλίῃ ἐνὶ πολλῇ;
13 Γλῶσσαν ἔειργ', ἵνα μή τι κακὸν ποτε μυθήσαιτο,
Ἴσχε τε χείλεά σευ, μήπως ἀπατήλια βάζοι,
Μηδέ τι τοι ἀσύφηλον ἔπος φύγοι ἕρκος ὀδόντων.
14 Χάζεο μὲν κακοεργίης, ἀπό τ' ἴσχεο πάμπαν,
Σοὶ δ' εὐεργεσίη αἰεὶ σοὶ κῆρι μελέσθω·
Εἰρήνην τ' ἀγάπαζε, καὶ οἱ ἕπευ αἴκε φύγῃσιν.
15 Ἀθανάτω ὀφθαλμοὶ ἐπ' ἀνέρας εἰσὶ δικαίους,
Οὔατα δ' εὐχομένων ὅπ' ἀκουέμεν αἰὲν ἑτοῖμα.
16 Ἀθανάτοιο δ' ὀπωπὴ ἐπ' ἀνδράσιν ὄζιν ἀλιτροῖς,

Τῶν δὲ

Τῶνδε κὴ οὔνομ' ὀλέσαι ἀπὸ φθονὸς εὐρυοδείης,
Ὡς μήπις μεμνέφτο πύθοιτό τε ἔς-περ ὀπίσω.
17 Εὐσεβέες βούωσιν, Ἄναξ δέ σφεων ὄπ' ἀκούει·
Πάντων ἔκ τε κακῶν ξύεται κὴ ὀϊζύος αἰνῆς.
18 Ἀθανάτῳ χρεὸν ἐστὶν ἀδευκέα θυμὸν ἔχεσιν,
Οἷς τ' ἐάγη φίλον ἦτορ ἐνὶ φρεσὶν, ἔνεχ' ἁμαρτῆ·
Καὶ φρένα τειρομένοισι φόως πόρε, τύς τε σάωσε.
19 Πολλαὶ μὺν τ' ἄται, κὴ πολλὰ κάκ' εἰσὶ δικαίῳ·
Ἀλλά μιν ἐκ πάντων ξύεται μένος Ἀθανάτοιο.
20 Ὀστέα πάντα φύλαξε, κὴ οὔ νύ τι θρὺ ποτ' ἀράχθη.
21 Ἀλλὰ κακὸν κακὸν ἄνδρα φίλης αἰῶνος ἀμέρσει,
Σχέτλιον, ὃς κὴ ἔῃσιν ἀταθαλίῃσιν ὀλεῖται·
Τὺς δ' κιχήσεῖ ὄλεθρος, οἳ ἐχθαίρουσι δίκαιον.
22 Ἐκ δ' κακοῦ ψυχὴν ξύεται Θεὸς ὢν θεραπόντων
Ἀρτεμέες δέ τε πάντες, ὅσοι τε πεποιθότες αὐτῷ,
Καὶ σοὶ ἔασονται, οὐδὲ σφεας ἵξεται ὄλεθρος.

Ψαλ. λε'. ℥ε.

1 Δύσμενέεσσιν, Ἄναξ, μοι ἐριζόντεσσιν ἔριζε,
Ἀντίβιον μαχέσασθαι μαχεσμένοισιν ἐμοιγε.
2 Τοῖσι δ' σὺ θωρήσσεο ἐλθὲ, κὴ ἀσπίδα λάζεο χερσὶ,
Ἀσπίδα κὴ σάκος σὴν, κὴ ὄρσεό μοι ἐπ' ἀρωγῆ.
3 Ἐκ δέ τε ἔγχος ἐρυσσάμενος δυσὶν ἐμοῖσιν
Ἔλθοις ἀντίοων, ἵνα μὴ θωρήσσω ἐλάσωσι,
Μηδέ μοι ἀνοτέρω θωρήσσουσιν δουρὶ λύσῃ·
Ψυχῇ ἐμῇ ὣς εἰπὲ, Φόως τεὸν εἰμι κὴ ἄλκαρ.
4 Λωβηταὶ τ' εἶεν κὴ ἐλεγχέες, οἵ μοι ὄλεθρον
Ῥάψαν ἀεικελίως, μέμασάν τ' ἀπὸ θυμὸν ἑλέσθαι·
Αἰσχυνθεῖεν ὁμοῦ μετά τε τρεφθεῖεν ὀπίσω,
Αὖτως, ἀκλειῶς, οἵ μοι κακὰ μηχανόωνται.
6 Ὡς δ' ἄνεμος ζαὴς πίων θημῶνα πνάξῃ
Καρφαλέων, τὰ μὺν ἄρ τε διεσκέδασ' ἄλλυδις ἄλλῃ·
Ὣς τε διασκεδάσαι σφέας ἄγγελος Ἀθανάτοιο.
6 Τοῖσιν ὁδὸς σκοτόεσσα, κὴ ἦ πς ξεινά κ' ὀλίσθοι,
Γίγνοιθ', ἦπερ ἴωσιν· ὁ δ' ἄγγελος Ἀθανάτοιο

Αἰεὶ

Αἰὲν ὀπαπέρχων φεύγοντας ὄπιθε διώκοι.
7 Μαψιδίως γὰρ ἐμοὶ σφέτερον λίνον ἐξεπέτασαν,
Λυγρὸν, κρυπτάδιον· βόθρον δ' ὄρυξαν ἔνερθε,
Καί μοι ἀναπίψ ἀνδρὶ, κακῷ ἵνα πήματι κύρσω,
Ψυχῇ βόθρον ὄρυξαν ἐμῇ, καὶ ἐφάψαν ὄλεθρον.
8 Τὸν μὴ ἀνωΐστὶ θάνατος κιχάνοι,
Καὶ λίνῳ, ὃ κρύβδην ἄλλοις ἔπηκε, αὐτὸς ἁλώῃ,
Λευγαλέῳ, ὡς καί οἱ ὀπάσασον κακὸν εἶπ.
9 Τοὔνεκα δ' Ἀθανάτῳ χαιρήσει μοι φίλον ἦτορ,
Γηθήσει τε μάλισα, φόως ὅ μοι αὐτὸς ἐπύχθη.
10 Καὶ τότε δὴ ξύμπαντά μου ὀστέα ὧδ' ἐρέουσι,
Τίς σοὶ ὁμοῖος, Ἄναξ, κεχρημένον ὅς τ' ἐπάωσας
Ἀνδρὸς ἀπ' ἰφθίμου, ὃς ἕο κρείοσων τε γίνηται,
Ἀνδρὸς ἀφ' ὑβριστέω κεχρημένον ἠδὲ πενιχρόν;
11 Ψεύδεα δ' ἀρτιώοντες ἐμοὶ ἔπι μάρτυρες ἔσαν·
Οἵ με τά τ' οὐκ ἐνόησα μετάλλησαν καὶ ἔροντο,
Τῶν δέ τε νῆις ἐγὼ, καὶ πάμπαν ἀναίτιος ἦα.
12 Καὶ κακὸν ἀντ' ἀγαθοῦ μοι ἀεικέα μισθὸν ἔδωκαν,
Ἰέμενοι κλαῖναί με, φίλης τ' αἰῶνος ἀμέρσαι.
13 Ἀλλ' ἐγὼ, ὅτε μὲν οἱ νέσῳ τεύχοντο βαρείῃ
Σάκκον ὀπὶ χρόα θῆκα, ἔδαξον δέ με εἵματα ἔοσα.
Ἐλλισάμην, καὶ ἄπαστος ἔην, τεπιθὼν θυμῷ,
Μάψ, ἐπεὶ οὔ σφι μέμηλε, τῷ ἐκ ἀπόναιτο λιτάων,
Αἵ τ' ἐς κόλπον ἐμὸν γε παλιμπετὲς ἀπονέοντο
Εἰς ἀγαθὸν τρόπον ἐμοὶ, οὐδ' ὡς ἀνεμώλιοι ἦσαν.
14 Τοῖος ἦα, ὡς εἴ μοι φίλτατος ἦεν ἑταῖρος,
Ἠὲ κασίγνητος νέσῳ ἀρημένος αἰνῇ·
Βλοσυρὰ δὲ καπνίσας, μελανείμων, πένθεϊ κωφὸς,
Ὡς ὅτε τ' ἀνέει μητρὸς ὑφ' ἱμερτῷ ὀρτο γόοιο.
15 Οἱ δ', ἐπεὶ ἀασάμην, μεγάλῳ ὀπὶ πήματι κύρσας,
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη·
Καὶ ἐπ' ἐμοὶ ἤγερθεν, ὁμηγερέες τ' ἐγέλων το,
Οἱ δ' ἐπ' ἐμοὶ ἤγερθεν ἀπήμονες μετανάσαι,
(Τὲς δ' ἐγὼ οὐδ' ἔγνων, πάντων δέ τ' ἀναίτιος ἦα)
Κερτομέοντες, ἐπεσβολίης δ' οὐ γίνετ' ἐρωή.
16 Οἷά τε πολλὰ μολοβροὶ, ὀπίκλοποι ἠπεροπῆες, Κέρτομα

Κέρτομα βάζουσιν, καὶ ἐπ' ἀνδράσιν ἐψιόωνται·
Ὡς μ' ἔδακον μύθοις, δαιτὶ δ' ἀπολυμαντῆρες,
Σχέτλιοι, ἠδ' ὅτι μοὶ ὀλοὸς ἔβρυχαν ὀδόντας,
17 Αὐτάρ, Ἄναξ, τὸ μέχεις ἐπόψεαι, ἠδ' ἀλογήσεις;
Αὐτὴν ἔκ τε κυδοιμοῦ ἐμὸν φίλον ἔξελε θυμόν,
Πότμιε δ', ὃν μοι ῥάψαν ἀπηνέες, ἔκ τε λεόντων·
Μουνογλῶ ἀγαπητὸν ἐμὸν μελιηδέα ξῦσαι.
18 Ἦ κεν ἐγὼ κλείω σ' ἀγορῇ ἐνὶ κυδιανείρῃ,
Καὶ τεὸν αἶνον ἀείσω ὅθι πλεῖστος πέλε λαός.
19 Μή μοι ἐπευχετόωνται ἀνάρσιοι ἀνέρες αὔτως,
Μή σφισι χάρμα τ' ἐὼν μήτ' εἰς ἐμὲ δηνδίλλωσιν,
Οἵ τέ με μαψιδίως καὶ ἀναίτιον ἐχθαίρουσιν.
20 Οὐ γάρ τ' εὖ βάζουσι φιλοφροσυνήσι νόοιο,
Οὐτ' εἰρήνην σφιν καταθύμιος, αὐτὰρ ἐκείνοις
Ἡσυχίοις τ' ὀπὶ γῆ ἀπατήλια μητιόωσι.
21 Καδδ' ἐμέθεν σοβάπτοπι κεχηνότες ὣδ' ἀγόρευον,
Κερτομίοις ἐπέεσσι, Αἶ, αἶ, εἴδομεν ὀφθαλμοῖσιν.
22 Ἦ σὺ τόδ', Ἀθάνατ', εἶδες, ἀκλυὼ μὴ ἦθα σιωπῇ.
Σεῦθεο, μηδέ τ' ἐμεῖο, Ἄναξ, ἄπο νόσφι λιαθῇς.
23 Ὄρσο, Θεός μου Ἄναξ τε, καὶ ἔγρεό μοι ἐπ' ἀρωγήν·
Κεῖνε δὲ νεῖκος ἐμὸν, παρά δ' ἴσασον εἰνὶ δίκῃσι.
24 Κεῖνε μ', Ἄναξ ὁ Θεός μου, ὃς εὖ πέει οἶδα δικάζειν,
Εὐνομίῃσι τεῇς, μηδέ σφιν χάρμα γένωμαι.
25 Μηδ' εἴπωσι ποτὶ σφέτερον μεγαλήτορα θυμὸν,
Ὦ πόποι, ἦ ῥ' ὡς ἄμμι φίλον φρεσὶν, ὡς ἐτελέσθη,
Πάγχυ καδ' ἡμέτερόν γε νόον τάδε ἔργα τέτυκται·
Μηδ' εὔχωνθ', ὡς εἴ με καταβρόξαντες ὄλεσσαν.
26 Τοῖσιν δ' αἶσχεα μᾶλλ' ἄμυδις κάκ' ἐλέγχεά τ' εἴη,
Οἳ ὑβροπλίῃσιν ἐμῇ χαίρουσιν ἀνίῃ·
Αἰδοῦς τε λώβης τε μέλαν νέφος ἀμφιέσαιντο,
Οἵ μοι ἐπευχετόωνται ἀγηνορίῃσι νόοιο.
27 Οἱ δ' ἀλαλάξαντες μέγα κεν κεχαροίατο θυμῷ,
Οἵ μοι ἀρηγόνες εἰσὶ δίκῃ, (ἰδεῖα γὰρ ὄζιν)
Ἠδ' ἐπίηρα φέρουσιν ἀναιτίῳ· οἳ δὲ μάλ' αἰεὶ
Ὧδ' εἴποιεν, Ἄναξ πέει πάντων αἰνετὸς εἶη,

Ὧ

Ὦ θαλίη θεράποντος ἐὸν ὀπήνδανε θυμῷ.
28 Εὐδικίην δὲ τελῶ ἐρέει ὁσίας τε θέμιτας
Γλῶσά μου, ἠδὲ παντμερέη τεὸν αἶνον ἀείσει.

Ψαλ. λς'. ζ σ.

1 Ἡ Μὲν ἀταθαλία ἀνδρὸς ἀφρόσυνα ἀλεγεινὴ
Εἶπέ μοι ἐν κραδίῃ, ἐπεὶ οὐ τόδε οἶδ' ἐνὶ θυμῷ,
Οἷος ὄγ', οὐδὲ Θεοῖο μεταπρέπετ' οὐδ' ἀλεγίζει,
Νήπιος, ἠδέ ποτ' αὐτὸν ἐο φρεπάρροιθεν ἔθηκεν,
Οὔ τέ π ἓν αὐτῷ μιν ἔχει δέος, οὔτέ πις αἰδώς,
Οὐ Θεὸς οἱ αἰδώς πις ἐν ὀφθαλμοῖσιν ἐοῖσι.
2 Καὶ ἄδην ἓν ἔοι αὐτῷ, ἰδ' ἀσκηθὴς δοάτ' ἔῃ,
Εἰσόκ' ἀταθαλίη, τιὼ τε φρεσὶ βυσσοδομεύει,
Πᾶσιν ἀειγνώτη, συγερή τ' ἀναφανδὰ γίνεται.
3 Αἴσυλα δ' ἔπεα στόματος, δολόεντά τ' ἔασιν·
Οὐκέτ πεπνύσθαι ἐθέλει, οὔτ' αἴσιμα ῥέζειν.
4 Κείμηλος ἐν λεχέεσσιν ἀτάθαλα μήδεται ἔργα·
Βῆ δ' ἀν' ὁδὸν μεμαὼς, ἣ κ ἰθεῖάν γε ἔῃσιν,
Οὔτ' ἀγαθὴν· οὐδὲ συγέει κακὸν ἐργάζεσθαι.
5 Μειλιχίη σεν, Ἄναξ, εἰς ὠρανὸν οὖρω ἱκάνει·
Καί σευ ἀληθείη ἔν τ' αἰθέρι κ νεφέλῃσι.
6 Σὴ δὲ δικαιοσύνη ὡς οὔρεα μακρὰ τέτυκται·
Σαί τε δίκαι πολιοῖο ἁλὸς βένθεσσιν ὁμοῖαι,
Δεινοῖς· ἀνθρώπους σὺ, Ἄναξ, θηρές τε φυλάσσεις.
7 Ὡς ἀγαθή τε, Θεὸς, φαεώσιον, ἠδ' ἐείπμος
Σὴ ἀγανοφροσύνη· τῷ κ μάλα φῦλ' ἀνθρώπων
Ἔλπονται σόοι εἶναι ὑπὸ πτερύγεσσι τεῇσι·
Τάων ᾗ σκιὴ ἠνίκ' ἄρα σφέας ἀμφικάλυψε,
Τῇ πίσυνοι ἅφαρ εἰσὶ, πεθαρσήκασί τε λαοί.
8 Οἶδ' ἐμπλήσονται θαλέων σέθεν πίονος οἶκος·
Καί σφιν ἅλις πίειν δώσεις ποταμοῖο τροῖο,
Αἰεὶ τερπωλῇσι μελισταλέεσσι ῥέοντος.
9 Ὠκεανὸς σὺ γάρ ἐσσι βίης, ἐκ σεῖό τε πηγὴ
Αἰῶνός τ', ἀγαθῶν τε φρείατα πάντα νάουσι,
Καὶ ποταμοὶ, ὅσσοις γλύφεις πάντεσσι τέτυξαι,

Ἠδὲ πατήρ· ἐν σῷ ᾗ φάει φάος ὀψόμεθ' ἡμεῖς.
10 Μειλιχίης ἔτ' ὄναντο τεῆς, οἳ κέν σ' ἐνὶ θυμῷ
Γνῶσι, κὴ εὐδήκης, οἷσιν νόος ἄσιμος ἧσι.
11 Μὴ ποδὶ πὴ βλάψαι μ' ἀνδρῶν ὑπερφιάλων·
Μηδὲ βίη χειρὶ τε κρατερῇ μ' ὠσαίατ' ἀλιτροί.
12 Κάτθανον ἔνθ' ἄνδρες, τοῖς κέτλια ἔργα μεμήλει·
Καὶ ἐπεὶ ἔν συφέλιχθεν, ἄμ' ἤερπον, οὐδ' ἄρα πως ἦν
Αὖθις ἀνασῆναι, οὐδ' ἐκφυγέειν κακότητα.

Ψαλ. λζ'. 37.

1 Ἀνδράσι μὴ φθονέῃς, οἷσιν φίλον αἴσυλα ῥέζειν·
Μηδ' ὅτι τοῖς κακοεργοῖσιν δύζηλος ἔηδα.
2 Ταμινόμβυοι γὸ τοί γε τάχ' ἠΰτε χόρτος ὀλεῖνται,
Ἠδὲ μαραινόμβυοι ἄφαρ ὡς τέρεν ἄνθεα ποίης,
Αὕτως τηλεθόοντα μίνυνθά κῳ, οὔτι μάλα δηύ.
3 Ἀθανάτῳ πίσυνός τε πέλευ, ἅμα τ' αἴσιμα ῥέζε·
Καί νύ κεν εὔκηλος γαίῃ ἔπι τ' οἰκία ναίοις,
Καί ῥ' ἐτεὸν βόσκοιο, βίος δέ τοι ἔμπεδος εἴη·
4 Ἀθάνατός σοι τερπωλὴ κὴ χάρμα γένοιτο·
Καί κέν σοι τόσα δοίη, ὅσα φρεσὶ σῇσι μενοινᾷς.
5 Ἀθανάτῳ μάλ' ἔκηλος ὀπιτρέψαις τὰ σὰ ἔργα·
Τῷ πίσυνός τ' εἶναι, ὃ δέ κεν ῥέα ἐκτελέσειεν.
Ὧν δέ σε ἵμερος εἷλε, αὐτῷ τάδε πάντα μελήσει,
6 Σιὼ τε δικαιοσύνην ὥστερ φάος ἀμφαδὰ θήσει,
Ὡς φάος ἠελίοιο, δίκιν τέ σευ ὡς μέσον ἦμαρ.
7 Ἴκελο δ' Ἀθάνατον σιγῇ ποσὶ ἔγκυρος αἰεί·
Μηδέ ποτ' ἐν θυμῷ τάδε χώεο, μηδὲ νεμέσα,
Οὕνεκά τις δοκέει μάκαρ ἔμμεν' ἀτάσθαλος ἀνὴρ,
Εἴ πέρ τ' εὖ ζώοιεν, ὃς ἐκ ὄθετ' αἴσυλα ῥέζων.
8 Παῦε, ἔα ᾗ χόλον, μηδ' ἀσπερχὲς μενέαινε·
Μὴ νεμέσα, μὴ καί οἱ ὁμῶς κακοεργὸς ἔηδα.
9 Καὶ γὸ σφεῖχνυ κακῶς οἱ ἀτάσθαλοι ἄνδρες ὀλεῦνται·
Οἱ δέ τε Ἀθανάτῳ πίσυνοι ὦδε κῆρι πέλονται,
Κτήσονται γαῖαν, δηθὰ ζωοῖσι μιγῆντες.
10 Οὐ μὴν γὸ δηναιὸς ἀλείτης, ἀλλὰ μίνυνθα

Μίμνει·

Μίμνει· εἰ ἔν νυ τῷ ὄζῃ, ἄφαρ δ' ἐκ ἔστ' ὀπίσω·
Καὶ ἔλθὼν ὃν ἀπουδὴ διζήμενος οὐκ ἂν ἐφεύροις.
11 Γαῖαν δ' κτήσονται ἐνηέες ἄνδρες ἔκηλοι,
Πλήθει τ' εἰρήνης τε τεταρπόμενοι φίλον ἦτορ.
12 Ἀνδρὶ δικαίῳ ἀλιτρὸς ἐμήσατο ἔργον ἀεικές,
Τῷ δ' νεμεσσηθεὶς ὀλοὸς ἔβρυξεν ὀδόντας.
13 Ἀλλ' ὅπι οἱ γελάσει ἱερὴ ἴς· Ἀθανάτοιο·
Ἔγνω γὰρ κῆτ' ἄμοιρον, ὃ οἱ ἤδεν ἄϊσιμον ἦμαρ.
14 Σπάσαντο ξίφος ὀξὺ, βίον τ' ἐπάμυσαν ἀλιτροὶ,
Ἰέμενοι πεσχὸν πελάσαι χθονὶ πυκνοτείρῃ,
Πτωχὸν λευγαλέον κεχεμμένον, ἠδ' ἐναείξαι
Ἀνέρας, οἳ βίον εὖ ἰθύουσ', ἠδὲ καθ' αἷσαν.
15 Τῶν δέ τε φάσγανον ὀξὺ διὰ φρένα εἴσεται αὐτῶν
Μέσσῳ κακκραδίην, ἅμα τ' ἀγνυμένοιο βιοῖο.
16 Ἀνέρος εὐσεβέος ζωὴ, ὀλίγη τε φίλη τε,
Κρείσσων, ἢ πολέων ἄφενος κὴ πλῆτος ἀλιτρῶν.
17 Καὶ γὰρ δυστεκέων μὲν ἀκὴ βραχίονες ἀνδρῶν
Πρυμνοὶ ἀραχθήσονται· Ἄναξ δέ τε ἔρμα δικαίων.
18 Ἀθάνατος δ' ἀνδρῶν ἴδεν ἤματα κὴ βίον ἔγνω,
Οἵ ῥ' ἐναίσιμοί εἰσιν· ἀκήρατος ἔν σφιν ὀπίσω
Κλῆρος ἔπι, κἠπίς τε μάλ' ἔμπεδος ἔσεται αἰεί.
19 Ὥρῃ ἐν ἀργαλέῃ ὅτε τ' ἤματα λυγρὰ πέλονται,
Οὔ νύ κεν αἰσχυνθεῖεν· ἐπὶν δέ τε λιμὸς ἵκηται,
Ἔσεθ' ἅλις σφ', ἵνα μὴ βρώμης ὀπιδευέες ὦσι.
20 Δυστεκέες δ' ἀπολεῦνται, ἰδ' ἐχθροὶ Ἀθανάτοιο·
Ὡς δ' ὅπότε κειῶν τε κὴ ἀρνῶν πίονα δημὸν
Πῦρ δηΐον φθήσιν ἐϋθμήτων ὀπὶ βωμῶν,
Κνίσῃ δ' οὐρανὸν ἷκεν ἑλισσομένη ἀνὰ καπνῷ·
Ὡς οἳ ἀποφθίμενοι κνίσῃ καπνός τε γίνονται.
21 Οὐκ ἀπέδωκε δάνειον, ὁ, τ' ἔλλαβ' ἀταύθαλος ἀνήρ·
Ὅς πις δ' αὖ ἀγαθὸς, καί κεν πεφικὼς χαρίσαιτο,
Πολλοῖς πολλὰ δίδοὺς, ἐπεὶ οἱ νόος ἐς ἐλεήμων.
22 Οἷς ὃ φίλα φρονέει ἐνὶ δυμῷ, τοί-δ' ἄρα γαῖαν
Κτήσονται· ὅς δ' αὖ τ' ὃ κατέσυγε, τοί-δ' ἀπολεῦνται.
23 Ἰχνιά τ' ἰθύει κὴ ὁδὸν θεὸς ἀνέρος ἐσθλοῦ·

Ὃν τε βίον φιλέει, καὶ ἑοῖς ὀπιτέρπεται ἔργοις.
24 Εἰ πέσεν, οὐκ ἀπόλωλεν· Ἀναξ γὰρ ὑπέχεθε χεῖρα.
25 Ἦ ποτε κύρ᾽ ἔα, νωῒ αὖτέ με γῆρας ἱκάνει,
Ἀλλ᾽ ὁ καλλιφθέγγατο σοτ᾽ ἄνδρα δίκαιον ὄπωπα,
Οὐδ᾽ ἐὰ τέκν᾽ ἀνὰ δῆμον, ἐπεὶ χερεὼ ἶκεν ἐδωδῆς,
Αἰτίζοντ᾽ ἀκόλως, οὐδ᾽, ὕνεκα λιμὸς ἄνωγε,
Πλαγχθέντ᾽, αἴ κέν πς κοτύλιω καὶ πύρνον ὀρέξῃ·
Οἷοί τε πίωχοὶ καὶ ἀλήμονες ἄνδρες ἔασιν.
26 Ἤματα πάντ᾽ ἐλεεῖ, καὶ χρηΐζοντι δανείζει·
Παῖδες ἑοὶ μάκαρες, καί σφιν πολὺς ὄλβος ὀπηδεῖ.
27 Χάζεο πόλλ᾽ ἀπάνευθε κακῆ ἄπο, αἴσιμά τ᾽ ἔρδε·
Σοὶ δ᾽ ἔδος ἔμπεδον ἔσται, ὃ ναίοις νωλεμὲς αἰεί.
28 Ὅτι δίκαιον φιλέει Θεός· οὐδέ ποθ᾽ ὃς θεράποντας
Καλλείπει, ὁσίως, οἳ δ᾽ ἤμαθα πάντα σάωθεν·
Δυσσεβέων δ᾽ ἀνδρῶν γενεὴ ἀφοθέλυμνος ὀλεῖται.
29 Γαῖάν κεν λελάχοιεν, ἰδὲ κήσαιντο δίκαιοι,
Νωλεμὲς οἰκεῦντες· μετανάστη δ᾽ ὅ ποτ᾽ ἔσην.
30 Ἀνέρος εὐσεβέος στόμ᾽ ὀπιφροσύας ἀγορεύει·
Τοῖο δ᾽ ἀπὸ γλώσσης ῥέει εὐνομίη τε δίκη τε.
31 Θεσμὸν ἑοῖο Θεοῖο φίλον φρεὶ κῆρι φυλάσσει
Ἐν στήθεσσιν ἑοῖς· τῷ οἱ ποσὶν οὐκ ἂν ὀλίσθοι.
32 Ὡς σκοπὸς, ἄνδρα δίκαιον ἀτάσθαλος ὀφρὺ νόησεν·
Τῷδ᾽ ἔπι καὶ λόχον εἶσε, κατακλάμψαι μενεαίνων.
33 Ἀλλ᾽ οὔ πως μιν ὀπιπτέφει χείρεσσιν ἑῇσιν
Ἀθάνατος, καί ἑ ἔποτ᾽ ἐάσει κύρμα γίνεσθαι·
Κασσέ μιν οὐ δικάσει, ὅταν οἱ ἔπι νεῖκος ὀρώρῃ.
34 Ἀθάνατον δ᾽ ὑπόμεινον, ἐὴν ποτιδέγμενος ἰὼν·
Τοῦ δέ θ᾽ ὁδὸν βαίης, καὶ ἄλλοθι σὸν πόδα θείης,
Καί σέ κεν ὑψόσ᾽ ἀείραι, ἵνα κήσαιό τε γαῖαν,
Δυσσεβέες τ᾽ ὀπόλοιντο, σύ τ᾽ ὀφθαλμοῖσιν ἴδοιο.
35 Εἶδον δυσσεβέα κρατερὸν θαλίῃ ἐνὶ πολλῇ,
Ὄλβῳ τε πλούτῳ τε κεκασμένον ἠνορέῃ τε,
Δενδρέῳ αὐξηνεῖ ἴκελον μάλα τηλεθόωντι.
36 Ἀλλά γε παρμέμβλωκε, καὶ αὐτίκα γίνετ᾽ ἀφαντος,
Οὐδ᾽ ἔτ᾽ ἔὼν· ἀπονδῇ δζήμφος οὔ μιν ἐφεῦρον.

37 Εἶσδ᾽

37 Εἴσιδ' ἀμύμονα φῶτα, δίκαιόν τ' ἄνδρα νόησον·
Ἀνδρὸς γὰρ τοιῶδε παγκάλιός ἐστι τελευτή.
38 Οἱ δ' ἅρ' ἀτάσθαλοί εἰσιν, ὁμοῦ δὲ πάντες ὀλοῦνται·
Τοῖσί τ' ἀλιτροῖσιν τέλος ἔσσεται αἰπὺς ὄλεθρος.
39 Εὐσεβέων δ' φόως ἐξ Ἀθανάτοιο τέτυκται,
Ὅς σφίν τ' ἄλκαρ ἔηκε κακὴ ἐν δαῒζυγι ὥρῃ.
40 Καὶ σφιν ἀρήξει Ἄναξ, καὶ ῥύσεται· ἐκ δ' ἅρ' ἀλειτέων
Ῥύσεται, ἠδὲ σαώσει, ὅτ' αὐτῷ θάρσαιοί εἰσι.

Ψαλ. λη'. ζδ.

1 Μὴ μοι ὀπιπλήξειας, Ἄναξ, κεκοτηότι θυμῷ·
Μηδέ με πλήξειας ξάβδῳ τεῇ αἰνὰ χολωθείς.
2 Ἐν γὰρ πῆχθεν ἔμοιγε τεοὶ πεφόρηντες ὀϊστοί,
Ὀξέες· ὅς τ' ἄμοτόν με βαρεῖῃ χειρὶ πιέζεις.
3 Ὡς σὺ μάλ' ὠδύσαο, φθινύθει μοι ἐπ' ὀστέφι χρώς·
Οὐδέ τι μοι σόον ἔσ', ὀλλ' ἀρτεμὲς ἐν μελέεσσιν
Εἵνεκ' ἐμῆς ἄτης, νόσφ δ' οὐ γίνετ' ἐρωή.
4 Καὶ γὰρ ὑπὲρ κεφαλὴν ἀλιτήματά μοι βεβαῶτα,
Κύματά θ' ὡς ἐμὲ θῆκεν ὑπόβρυχα· καί με βαρύνει,
Ὡς ὅτε πυ πνὰ φῶτα πελώριον ὄβριμον ἄχθος
Τείρει βασάζοντα, φέρειν ὁ δ' ἔτ' οὔ νε δυήσατο.
5 Τήκομαι ὠτειλῇσι κὴ ἕλκεσι μυδαλέοισι·
Σηπομένων δ' ἄρα τῆλ γε κακὴ γίνετ' ἐκ χεδὸς ὀδμή,
Νηπίην δ' ἐμέθυ, ἀεσιφροσύνῃσι τ' ἀλεγεινῇσι.
6 Λίην δὲ ξοχαλὸς γίνομαι, ὀδυρόμενός τε κυφός·
Ἐρπύζω δ' πανημέριος τεθμηκότος ἥτορ,
Καί μ' ἀδινοῖο γόοιο μέλαν νέφος ἀμφικαλύψει.
7 Ψοιαὶ μὲν νέσσιο κακῆς ὦϊέ τ' ἀμφί τε νεφροὶ
Πίμπλανται, κενεῶνά τ' ἀεικέλιον λάβεν ἕλκος·
Οὐδέ τι μοι σόον ἔσ', ὀλλ' ἀρτεμὲς ἐν μελέεσσιν.
8 Οὔ μοι ἔτ' ἴσ· πολλῇσι συνέρρηγμαι ὀδυρμοῖς·
Στήθεσιν ἐμβρέμεται κραδίη, κέλεται δέ με θυμὸς
Πένθεσι τειρόμενον σοναχιὴ ἁλίασον ὀείνειν.
9 Καὶ σύγ' ἐμὸν σάφα οἶδας ἐέλδωρ, ὅ, πρὸ με χρεὼ
Οὐδ' ἔλαθόν σε, Ἄναξ, ἐμὰ δάκρυά τε σοναχαί τε.

10 Πάλλετ' ἐμοὶ κραδίη, καὶ ἐνὶ στήθεσι παταίσει·
Καί μ' ὀλιγοδρανέοντα βίη λίπεν, ἐκ δέ μοι αἴγλη
Ὀφθαλμῶν ἀπόλωλε, καμὴ δ' ὀπιδέδρομθ ἀχλύς.
11 Τῆλε φίλοι ἕταροί τε ἀφ' ἕλκεος ἔσαν ἐμοῖο·
Οἵ τέ μοι ἄρθμοι ἦσαν, ἐμεῦ ἄπο νόσφι λίαθεν,
Βὰν δέ τ' ἐμὲ περιλιπόντες ὁμῶς πηοί τε ἕται τε.
12 Ἱέμθοί μοι θυμὸν ὀλέσαι δίκτυα θῆκαν·
Οἵ μοι πῆμά τε ξάψαν, ἀτάσθαλα πολλά τ' ἔειπον,
Ἠδὲ πανημέριοι καιὰ κέρδεα βυλεύσαντο.
13 Ἀλλ' ἐγὼ ἠΰτε κωφὸς ἔθν, ὣς τ' εἰ νύ μοι αὖτως
Οὔατ' ἀκυέμθ κῦ, ἔμθονον πετληότι θυμῷ·
Ὥς τ' ἀκέων καὶ ἄναυδος, ὅ, τ' ἔποτε γῆρυν ἵησι.
14 Τοῖος ἐγὼ γθύμθν, ὥς τ' ἐκ ἀΐοντι ἐοικὼς,
Ὥς τ' ἀνὴρ ἀλαὸς, καὶ ἵππια δίεα εἰδὼς,
Ὥς τ' ἔπω πνὰ νείκεσ' ἀταρτηρῆς ἐπέεσσιν,
Οὐδέ θ' ὁμοκλήσας χαλεπῷ ἠνίαπε μύθῳ.
15 Σοὶ γὰρ ἔπ' ἔλπομ', Ἄναξ· σύ δ' Ἄναξ ὁ Θεός μοι, ἀκούσεις.
16 Εἶπον γάρ, μή πως χάρμ' ἀνθρώποισι γενοίμθν·
Οἵ μοι ἐπευχετόωντο, ἐπὴν ποτε ποσσὶν ὀλισθῶ.
17 Πάρ γὰρ ἐμοὶ ἄτη, τάχα καὶ πεσέεσθαι ὀΐω·
Αἰεὶ δ' ἄλγος ἐμόν μοι ἐναντίον ἠδ' ἐνὶ θυμῷ.
18 Ἡ γὰρ ἀταθαλίθν μευ ἀειφραδέως καταλέξω,
Ἠδέ μοι αἰνὸν ἄχος φρεσὶν ἔσσεται, ὄφρα κ' ἁμάρτω.
19 Ἀλλ' ἐχθροί μευ ἔπι ζωοὶ κρατεροί τε πέλονται·
Οἵ τέ μ' ἀπεχθαίροντες ἀναίτιον, ὄφρα δίκθσι,
Μαψιδίως συγέουσιν, ἐπήτριμοι αἰὲν ἔασιν.
20 Οἳ κακὸν ἀντ' ἀγαθοῖο ἀεικέα πίσυν ἀμοιβὴν,
Δυσμενέες μοι ἔασιν, ὅτι φρεσὶν αἴσιμα ᾐδέα·
Ὅ, πι κῦ ἐθλὸν ἔθσιν, ἐμοὶ φίλει κῆρι μέμηλε.
21 Μή με, Ἄναξ, κατάλειπε, Θεός μευ, μηδ' ὑπερχώρει
Λίθν, μηδ' ἐμέθεν νοσφίζεο πηλόθι μᾶλλον.
22 Σπεῦδ' ἄγ', Ἄναξ, μοι ἄμθνε, φόως ὅ μοι ἐοσὶ κῦ ἄλκαρ.

Ψαλ. λδ'. Ζ.

1 Ἦ ἐφάμθν πεθδῇ πεφυλαγμένος αἰὲν ἔσεσθαι,
Μή ποθ' ἁμαρτοεπὴς γρεπτὴ μευ γλῶσσα γένοιτο,

Μηδὲ

Μηδέ τι μοι ἀσύφηλον ἔπος φύγοι ἕρκος ὀδόντων.
Τῷ τε χαλινώσειν στόμα μευ παρεόντος ἀλείτεω.
2 Τέτληκ' ἶσος ἀναίδῃ, ἀκλειῇ δέ τε ἦα σωπῇ,
Οὐδέ τι ἐκφάσθαι ἔπος ἤθελον, ὄφρ' ἀγαθόν περ·
Οὐδ' ὥς μοι ἀχέτο πένθος, ἀτὰρ κἠ μᾶλλον ὀείνθη.
3 Θέρμετο δ' ἠρδίη μοι ἐνὶ φρεσίν ἔως τ' ἐνὶ θυμῷ
Πολλὰ μάλ' ὤρμαινον, πῦρ ἐν σήθεσι δέδηε·
Γλῶσσα δ' ἄρ' ὀκέτ' ἐπαύσατ', ἔπος δ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
4 Ὦ Ἄνα, δεῖξον ἔμοιγε ἐμὸν τέλος, ὄφρα δαείω
Ἡματά μευ, τέο μέχεις ἔπι ξωοῖσι μετείω,
Εἰδέω θ', ὡς δειλή τε μινυνθάδιός τέ μοι αἰών.
5 Αἰὼν ὡς παλάμη, ὡς δάκτυλοι ἤματ' ἔασιν,
Ὡς ὀλίγον μοι τέρμα, βιοιό τε μέτρον ἔθηκας,
Οὐδέν θ' ὡς σέθεν ἄντ' αἰὼν ἐμή, ὑπδανή τε·
Ἦ μάλ' ἕκας ἀνὴρ, εἴπερ θαλίῃ ἐνὶ πολλῇ
Ζωὸς κἠ σόος ἧσιν, ἅπας λήρός τε κόνις τε.
6 Ἦ μάλ' ἀνὴρ σκιή ὄζει, βίος τ' εἴδωλον ἀμαυρόν·
Ἦ μάλα μὰψ κλονέεται ὅτι χθονὶ φῦλ' ἀνθρώπων·
Χρήματ' ἀγείρει ἀνὴρ, ὅτ' ἔγνω τίς κεν ἐπαύρῃ.
7 Νῦν δ' τίς, Ἀθάνατ' ἐλπὶς ἐμή; τέῳ αὖτε πέποιθα;
Ἦ ῥα σύ γ' ἐλπὶς ἐμὴ μόνος ἔπλεο, σοί τε πέποιθα.
8 Ῥῦσαι, καί με σάωσον ἐμῶν ἀπ' ἀταθαλιάων
Πασέων· μηδέ μ' ἔα λώβιον κἀκὸν ἐλέγχεά τ' εἶναι
Ἀνέῃ νηπυτίῃ, νόον ὅς τ' ἀφρώλιός ὄζει.
9 Σιγῇ ἀτρέμας ἦν, ἀκέων θ', ὅπ αὐτὸς ἔρεξας.
10 Ἴσχεο σὺν μάστιγα ἐμεῦ ἄπο, παῦε δ' ἐάδδων·
Ἐκ μ' ἔλιπε ψυχή, ὀλιγοπελίη τ' ἔχε θυμόν,
Τόσσον ἔγωγε πλῆγι κἠ χειρὶ δαμάσθην.
11 Εἵνεκ' ἀταθαλίης ὅτε σὺ βροτὸν ἄνδρα χαλέπτεις,
Δεινὸν ὀπιπλήσσων, χάλεπτε δ' οἱ ἀπὸ πάγχυ μαραίνεις,
Καὶ κάλλος, χ' ὃ χρόα πήκεις σητὶ ἐοικώς,
Ὅς τε κἠ εἴματ' ἔδῃ· ματίη δ' ἄρα φῦλ' ἀνθρώπων.
12 Σύνθεο, καί μοι ἄκουσον, Ἄναξ, ὅπα λιασομήνιος,
Κλῦθί μοι εὐχωλῆς, ὅς σοί τε γέγωνα βοήσας·
Σιγῇ μήτε πάρειδ' ἐμὰ δάκρυα, ὅς γέ τοι εἰμὶ

Ξεῖνος

Ξεῖνός τ' ἀλλοδαπός τε μινυνθαδίος τ' ὀπὶ χαίῃ,
Ὡς πατέρες μευ ἅπαντες, ὅσοι πρό τ' ἐμεῖο γένοντο.
13 Ἴσχεο, καί με ἔα, ἵνα μοι ὀλίγον πρὲ ἐπισπῶ
Ἀμπνευσαί τε πόνοιο, πρὶ ἐς φρένα θυμὸν ἀγεῖραι,
Πρίν με μολεῖν, κὰ μή πε ἔτι ζωοῖσι μετεῖναι.

Ψαλ. μ'. 40.

1 Ἔτλιν μὲ κὰ ἔμεινα Θεὸν ποσὶ ἐγκλιθῶ ἔμπης·
Ὃς δέ τ' ἐπεγνάμφθη, καί μευ βοόωντος ἄκουσε.
2 Καί με σμερδαλέοιο ἀνήγαγεν ἔκ τε βερέθρου,
Πηλοῦ τ' ἐκ μαρῶν, ἐξ ἰλύος τε βαθείης·
Πέτρῃ ἔπ' ἀσφαλέως ἐμά τ' ἴχνια θῆκε πόδας τε.
3 Ὅς τε νέον ᾠδὴν ἐμοὶ ἔθετ' ἠδ' ἔντυεν ἀοιδὴν,
Ὡς μιν ἀνὰ στόμ' ἔχων θεῷ ἁμῷ αἶνον ἀείσω·
Πολλοί κεν τόδ' ὁρῷεν, ἰδὲ τεθμήσαιτο θυμῷ,
Καί νύ κεν Ἀθανάτῳ πίσυνοι μετόπισθε γένοιντο.
4 Τείς μάκαρ ὅστις ἀνὴρ κὰ τετράκις, ὅς θ' ἑὸν ἆλκαρ
Θῆκε κὰ ἐλπωρὴν ἱερὸν μύθου Ἀθανάτοιο·
Οὔτ' ἄρ' ὑπερφιάλων, ὅτε ψεύδεα ἀλεγίζει.
5 Πολλά μοι εἰσιν, Ἄναξ ὁ Θεός μου, θέσκελα ἔργα,
Μέρμερα, ὅσσα τ' ἔρεξας, ἄγη δ' ἔχεν εἰσορόωντας·
Πολλὰ δ' ἔασιν ἐς ἄμμε τεῦ μελεδήματα θυμῷ,
Οὔ κέ πις ἐξείης ποτέ τοι τάδε περιπάσσατο·
Πάντα μάλ' ὄκ ἂν ἐγὼ μυθήσομαι ὐδ' ὀνομήνω,
Οὐδ' εἴ μοι δέκα μὲ γλῶσσαι, δέκα δ' στόματ' εἶεν·
Μᾶλλόν πις κὰ κύματ' ἀριθμήσειε θαλάσσης,
Οὔνεκα μυρία εἰσίν, ὅσα ψάμαθός τε κόνις τε.
6 Οὔτε θυηλή σοι καταδύμῳ, οὔθ' ἑκατόμβη·
Οὔατά μοι τέτρηνας ἀνοίξας τ', ὄρρα πίθωμαι·
Ἱερὰ δ' κὰλ' ἵνα τοι κ' πόνα μυρία κήω
Ταύρων ἠδ' αἰγῶν, ὄκ ἤτεες ὐδ' ἐπέτελλες,
Οὐδὲ φίλ' ἱερὰ, τοῖς σε παρατροπῶσ' ἄνδρωποι,
Λιτόμβροι, ὅτε κεν τις ὑπερβὴ κὰ ἁμάρτῃ.
7 Καὶ τότ' ἔφιν, Ἰδὺ ἔρχομ', ἐμεῦ πέρι θέσφατα ταῦτα
Γεγράφατ' ἐν πίνακι σπυρτῷ δέλτῳ τε παλαιῇ·

8 Ἔρδειν

8 Ἠρέσθω ὡς ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Τέρπομ', Ἄναξ ὁ Θεός μοι· ἐμοὶ δ' ἐνὶ θεσμὸς ἄρηρε
Νηδύϊοισι τεοῖς, καί μιν σῷ κῆρι φυλάσσω.
9 Ἐξήγγειλα δίκαιον μεγάλῳ ἀνδρῶν ἐν ὁμίλῳ·
Οὐδ' ἄρ ἔχον σιγῇ, ὡς εὖ σύ κε, Ἄδμητ', ἔγνως.
10 Οὐδὲ δικαιοσύνην σεῦ ἐνὶ φρεσὶν ἐντὸς ἔκευθον,
Αὐτὰρ ἀληθείην καὶ ἀρωγήν σευ κατέλεξα·
Οὐδέ τι σιγῇ εἶχον ἐνηείην ἐρατεινήν
Μειλιχίην τε τιθών, ἀδ' ὡς σοι πιστὰ πέλονται,
Ὡς σύ τ' ἀληθὴς εἶς· μέσῃ τὰ ὃ πάντα πέφασκον
Ἀνδρῶν εἰν ἀγορῇ, ὅθι τε πλεῖς θ' πέλε λαός.
11 Ἀλλ' ἐλέαιρε, Ἄναξ, καὶ μή σον ἀπ' οἶκτον ἔρυκε
Νόσφιν ἐμεῖο· τεὴ ὄ φιλοφροσύνη με σαώσει,
Σὴ δέ τ' ἀληθείη με φυλάξαι νωλεμὲς αἰεί.
12 Πάντη γὸ πεί μ' ἄται ἐκυκλώσαντο βαρεῖαι,
Μυείαι, ὅσσαι τε φύλλα καὶ ἄνθεα γίγνεται ὥρῃ·
Μάρψασαί μ' εἶχόν μιν ἁμαρτάδες, ὀδ' ἔτι μοι ὦῶ
Δέρκεσθαι, τόσσον μ' αὐτέων νέφος ἀμφεκάλυψεν,
Ὅσσαι γε τείχες ὀδὲ καρήατός εἰσιν ἐμοῖο·
Τῷ μ' ἔλιπε κραδίη, ὀλιγηπελίη τ' ἔχε θυμόν
13 Σοὶ φίλον εἴη, Ἄναξ, ῥῦσαί με σείφεσι θυμῷ·
Σπεῦδ' ἄγε, λίσσομ', Ἄναξ, τάχα δ' ἔρχεό μοι ἐπαρωγός.
14 Λωβητοί τ' εἶεν καὶ ἐλεγχέες, οἵ μοι ὄλεθρον
Ῥάψαν ἀεικελίως, μέμασάν τ' ἀπὸ θυμὸν ὀλέσαι·
Αἰχυνθεῖεν ὁμῶς, μετά τε τρεφθεῖεν ὀπίσσω,
Αὖτως, ἀκλειῶς, ὅσσοι κακά μοι φρονέουσι.
15 Καί κεν ἀποῤῥαισθέντες ἐοικότα μισθὸν ἄροιντο
Σφῆς ἄτης, καὶ ὄλοιντο ἅ σφέτερ' αὖχα πολλά,
Οἵ μοι ἐπευχετόωντ, Αἴ, αἴ, ἀναφανδὰ λέγοντες.
16 Σοὶ μέγα χαίροιεν, τερποίατό τε φρένα πάντες,
Οἵ σ' ἰκέτ σοι ἔασι, καὶ οἷς νόος ἔνδοθι θεσθῆς·
Οἵ τε τεὸν φιλέουσι φάος, εἴποιεν ὁμαρτῇ
Σωιηχὲς, ὑψόθω κλέος οὔνομά τ' Ἀθανάτοιο,
17 Αὐτὰρ ἐμεῖο Ἄναξ πλωχοῖό θ' ἥδε πενιχροῦ
Κήδεται· ἄλκαρ ἔμοιγε σὺ καὶ ὄπιταῤῥοδός ἐσσι·
Μή μοι δηθύνηθα, Θεός μευ, αὐτίκα δ' ἔλθῃς.

Ψαλ.

Ψαλ. μα'. 41.

1 Ὄλβιος, ὃς πτωχοῦ ἄθεται φρεσὶν ἠδ' ἀλεγίζει·
Ἀθάνατος μιν ῥύσετ' ὀϊζύος ἤματι λυγρῷ.
2 Ἀθάνατος μιν ἔπειτα μὴ ζωοῖσι φυλάξει
Ἀρτεμέ', ὡς ὄφρ' ἔτι γῆι μάκαρ ἦσι κὴ ὀλβιοδαίμων·
Οὐδέ ἑ δυσμενέεσσιν ἐάσει κύρμα γενέσθαι.
3 Εἰ δέ ποτ' ἐν λέκτρῳ κεῖται χαλεπῇ ἀλγεα πάσχων,
Ἀθάνατος δ' ἄρα οἱ γε βίην κὴ κάρτος ἐνήσει·
Πᾶν δ' οἱ πορσυνέεις λέχος, ἐν νοῦσον ἔχησιν.
4 Εἶπον, Ἄναξ μ' ἐλέαιρε, φίλον δέ μοι ἦτορ ἄκεσσαι,
Ψυχή τ' ἶσαι, ὅτε σοι ἁλιτήμυός εἰμι.
5 Πολλά με λωβήσαντο, κακὰς δέ τε χεῦαν ἐπαρὰς
Δυσμενέες, Πότε οἱ θάνατος κὴ μοῖρα πρατεῖ
Ἔσεθ', ἐὸν δέ τε πάμπαν ἀπὸ χθονὸς οὔνομ' ὀλεῖται;
6 Τῶν δ' εἴ πε μ' ἰδέειν ἔλθῃ, ἀνεμώλια βάζει·
Μᾶλ δέ τε μοι μύθοισι κακοζόμενος μαλακοῖσιν
Ἐθλὰ μὲ ἀγγέλλει, κακὰ δ' φρεσὶ βυσσοδομεύει·
Καὶ ὅππ ἔνδον ἔκυθε, λέγει ὅτε εἴσι δύραζε.
7 Πάντες ἐμ' ἐχθαίροντες ἐμοὶ ἔπι μῆτιν ὕφαινον,
Ἄγχι δ' ἔχον κεφαλᾶς, ἵνα μὴ πάθοιεν οἱ ἄλλοι·
Καὶ κατ' ἐμεῖο δόλως ῥάψαν, κὴ πῆμα κακοῖο.
8 Ὧδε δέ πις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Τῶδ' ἔχεται λώβη τε κακὴ, κὴ νοῦσος ἀεικὴς·
Νεῦ δ' ὅτε πήματι κύρσε, κὴ οὐκέτι μηκέτ' ἀναστῇ.
9 Καὶ φίλος, ᾧ τε πέποιθ', ὅ, τε πρόσταλος ἔσθιε σίτους,
Ὃς μοι ὑπερφίαλος, κὴ ἐμῆς ἐξέμμορε δαιτός,
Ἀλλ' ὕβρει εἴκων ὄγε μοι λάξ ἐνδορενέμπτης.
10 Αὐτὰρ, Ἄναξ, ἵλαθ' ἐλέαιρέ τε, καί μ' ἀνέγειρε,
Ὡς σφιν ἐοικότα μισθὸν ὀπάσσω, οἷά μ' ἔρεξαν.
11 Οἶδ' ὅ μοι ἵππός ἐσσι, φίλα φρονέεις τ' ἐνὶ θυμῷ,
Ἐχθρὸς ὅτ' οὔ μοι ἐπεύχετ' ἀγηνορέηισι νόοιο.
12 Ἕρμα δίκης σύ μοι εἷς, κὴ ἀναίτιον ὄντα φυλάσσεις
Ἐν πάντεσσι πόνοις, σοὶ ἐνώπιόν τ' αἰὲν ἔθηκας.
13 Νωλεμέως αἰνείσθω Ἄναξ Θεὸς Ἰσραὴλ
Πάσηισιν γενεῇσιν ἀεί· ὣδ', ὧδε γένοιτο.

Ψαλ.

Ψαλ. μϐ'. 42.

1 Ὡς ὅτε καρχαλέη ἔλαφος ποταμοῖο ῥοάων
Πολλὸν ἱμειρομένη πολυκαγκέα δίψαν ἀφεῖναι,
Πνευστιόωσα μέμυκε, πεῖν δέ ἑ θυμὸς ἀνώγει·
Ὣς σευ ἱμείρομ' ἔγωγε, Θεὸς, σέ τε πολλὰ ποθεῦσα
Πνευστιόων μοι θυμὸς ἐνὶ στήθεσι μέμυκε.
2 Ψυχή μευ δίψησε Θεὸν, Θεὸν αἰὲν ἐόντα·
Ἄντα Θεῷ πότε μοι ἔσετ' ἐλθέμεν ἠδὲ φανῆναι;
3 Ἤματά μοι νύκτας τε τὰ δάκρυά ὅζιν ἐδωδή·
Ὄφρα με κερτομίοισιν ἀνειρόμενοι τρομέουσιν
Συνεχὲς, Εἶδ' ἄγε νῶϊ λέγε πῦ ἄρα σὸς Θεὸς ὄζιν;
4 Ταῦθ' ὡς ἓν ἐνόησα μετ' φρεσὶν ἃ πρὶν ἐπύθη,
Μνωομένῳ κραδίη μοι ἐνὶ στήθεσι τέτηκε
Πένθεϊ τειρομένῳ, πάλαι ὡς ἀνδρῶν ἐν ὁμίλῳ
Ἤϊα, τοῖσι ᾗ πομπὸς ἔην ὀλὶ δῶμα Θεοῖο,
Κεῖσε δ' ἄγον, λιγυρῇ μὲν ἅμα κλείοντας ἀοιδῇ,
Ἀνδρῶν εἰν ἀγορῇ, οἷς δήμιος ἦεν ἑορτή.
5 Τίπτ' ἀλύεις, φίλε θυμέ; τί δ' ἔνδοθι τόσσον ἀπυχθεὶς
Ταρβεσύνῃ δέδμησο, καπηφείῃ τ' ἀλεγεινῇ;
Θάρσει, κὴ Θεῷ ἔλπε, ἐπεὶ κὴ ἔτ' ἐλπίδος αἶσα,
Ἥ γ' ἔτι κλείω μιν ἐπὶ ἀμφί τ' ἄλκαρ ὀπωπῆς.
6 Θυμὸς ἔμοιγε, Θεός μευ, ἐνὶ στήθεσι ταράχθη·
Τοὔνεκά σευ μεμνήσομ' Ἰορδανίης ἀπὸ γαίης,
Ἐκ θ' Ἑρμωνιτέων, ὄρεός τ' ἀπὸ Μιζαείοιο.
7 Καὶ ποταμὸς ποταμὸν καλέει, κὴ βένθεϊ βένθος
Ἠπύει· ἄμφω ὁμῶ συμβάλλετον ὄβριμον ὕδωρ,
Ὀφρ' ὀχετοὶ αὐλοί τε τεοὶ καναχηδὰ ῥέεσιν
Ἐκ νεφέων· ὥς μοι δέχεῖ κακὸν ἐκ κακῦ αἰεί·
Ὑδατά σου κὴ κύματ' ἐμοὶ ὀπὶ πάντα βέβηκεν.
8 Ἀλλὰ κατ' ἦμαρ ἔμοιγε φίλα φρονέων ἐνὶ θυμῷ
Ἐσθλὰ δίδωσει Ἄναξ· ἀνὰ νύκτα ᾗ καί μιν ἀείσω,
Ἠδὲ οἱ εὔξομ', ὃ κὴ Θεός ὄζιν ἐμοῖο βίοιο.
9 Νῶϊ ἐρέω ᾗ Θεῷ, Σύ μοι ὃ κράτος ἐσσὶ κὴ ἄλκαρ,
Τίφθ' ὕπνῳ φρεσὶ σῇσι λελασμένῳ ἔπλου ἐμεῖο;

Τίπτ'

Τίπ' ἀχέων ἐρπύζω ἀναρσίᾳ ὑβείζοντος;
10 Ὡς δ' ὅτε τις ξίφος ὀξὺ δι' ὀστέα φωτὸς ἐλάσσῃ,
Τοῖαι ἐπεσβολίαι εἶσ' ἀνδρῶν δυσμενεόντων,
Ὄφρα με κερτομέουσιν ὀνειδίοις ἐπέεσσι,
Σωιηχὲς εἰεμένοι, Πῦ νωῖ ἄρα σὸς Θεὸς ὄξι;
11 Τίπ' ἀλύεις, φίλε θυμέ; τί δ' ἔνδοθι τόσσον ἀπυχθεὶς
Ταρβοσύνῃ δέδμησο, καταφείῃ τ' ἀλεγεινῇ;
Θάρσει, καὶ Θεῷ ἔλπε, ἐπεὶ καὶ ἔτ' ἐλπίδος αἶσα,
Ἦ γὰρ ἔπ κλείω μιν ἐμῆς ἀλά τ' ἄλκαρ ὀπωπῆς,
Τῷ μ' ἄντίω ἐσάωσε, καὶ ἤνεκά μευ Θεὸς ὄξι.

Ψαλ. μγ'. 43

1 Κρῖνε, Θεὸς, νεῖκός μευ, ἄρηγέ μοι εἰνὶ δέμισι
Παρσὰς εἰνὶ δίκῃσιν ἐμοὶ ὑπὸ ὕβριν ἄμωι
Ἔθνεος οὐλομένοιο, ὅ, τ' ἐ φρεσὶν αἴσιμα μ' ἤδη·
Ῥῦσαί μ' ἐκ δολίης καὶ ἀταθάλου ἀνέρος ὁρμῆς.
2 Σὺ κράτεος γὰρ ἐμῆς Θεὸς ἔπλεο, τίπτε μ' ἀπῶσας;
Τίπ' ἀχέων ἐρπύζω ἀναρσίᾳ ὑβείζοντος;
3 Πέμπε φάος σὸν ἀληθείην θ', ὁδὸν ἡγεμονεύειν,
Καὶ πομπὸς ἔμμεναί μοι ἀπήμονας, ὄφρα μ' ἄγοιεν
Εἰς ἱερὸν σὸν ὄρος, σά τε δώματα ἄφθιτα αἰεί.
4 Εἶμι τότ' ἀασσάων Θεῦ ἐς ἀειπαλλέα βωμὸν,
Πρὸς Θεὸν, ὅς μοι χάρμα, καὶ αἰπὺς ἔπλετο πάσης
Γηθοσύνης, καὶ θυμὸν ἐϋφροσύνῃσιν ἰαίνει·
Καὶ φόρμιγγι λιγείῃ, Ἄναξ, τεὸν αἶνον ἀείσω,
Καί σε, Θεὸς, μέλψω, ὅς τ' ἔξοχά μευ Θεὸς ἐσσι.
5 Τίπ' ἀλύεις, φίλε θυμέ; τί δ' ἔνδοθι τόσσον ἀπυχθεὶς
Ταρβοσύνῃ δέδμησο, καταφείῃ τ' ἀλεγεινῇ;
Θάρσει, καὶ Θεῷ ἔλπε, ἐπεὶ καὶ ἔτ' ἐλπίδος αἶσα,
Ἦ γὰρ ἔπ κλείω μιν, ἐμῆς ἀλά τ' ἄλκαρ ὀπωπῆς,
Τῷ μ' ἄντίω ἐσάωσε, καὶ ἤνεκά μευ Θεὸς ὄξι.

Ψαλ. μδ'. 44

1 Σεῖο, Θεὸς, τὸ πάροιθεν ἀκούσαμεν ἄασι φήμιν,
Ἀλλοδί τε κλέος εὐρὺ καὶ ἐκ πατέρων πυθόμεσθα,

Οἷα

Οἷα σὺ μέμφεαι ἔρεξας, ὅτε ζώοντον ἐκεῖνοι,
Καὶ σφετέρῃς ψυχῇσι, πρὶν οἱ πρόφρων ἦσθ' ἐγένοντο.
2 Οἷον κὴ τόδε ἔργον ἔμεν μέγα τε κρατερόν τε,
Εὖτ' ἐξ ἔθνε' ἐλάασας, ἐνὶ φθονὶ τὰς δ' ἐφύτευσας
Χειρὶ τεῇ, λαὸς δ' ἐκάκωσας κὴ συφέλιξας.
3 Οὐ γὰρ γαῖαν ἔχον ξίφεϊ σφῷ οὐδὲ βίῃφι,
Οὐδ' αὐτοὺς σφετέρῳσι σάωσε βραχίονες· ἀλλὰ
Δεξιτερὴ σὴ τεὴ, σόν τε κράτος ἠδὲ βραχίων,
Σόν τε φάος γλυκερόν, κὴ μειδιόωντα σεφώσπα,
ⁿ Ὅτι σφέας ἐφίλεις, κὰι τοι κεχαρισμένοι ἦσαν.
4 Ἦ ἔα, Θεὸς, σύ γέ μοι βασιλεὺς κὴ κοίρανός ἐσσι·
Νίκιλον ἦδε φόως Ἰακωβιάδῃσιν ὄπαζε.
5 Δυσμενέας ἀφὸ σεῦ κεραΐζομεν, ἀντιβίους τε
Οὐνόματος ἀφὸ σοῖο ποδῶν ὑπένερθε πατεῦμεν.
6 Οὐ γὰρ ἐγὼ τόξῳ πίσυνος· ξίφος οὔ με σαώσει.
7 Ἀλλὰ σὺ δυσμενέων ἐξ ἀνδρῶν ἄμμε σάωσας,
Ἠδ' ἡμέας ἐχθαίρεσιν κακὸν αἶσχος ἔχευας.
8 Ἀλληλοῖον Θεὸς ἄμμι τέτυκται χάρμα κὴ εὖχος,
Τῷ δέ τε κυδιόωντες ἀγαλλόμεθα σεφὸ παν ἦμαρ·
Αἰνέομεν δ' τεὸν κλυτὸν ὄνομα νωλεμὲς αἰεί.
9 Ἀλλά γ' ἀπώσαο νῦν, κὴ ἐλεγχέας ἄμμε τίθησθα·
Εἰ πόλεμόν-δε τ' ἴασ' ἀμοὶ στρατιὴ, οὐ σφιν ὁμαρτεῖς,
Οὐδ' ὀπιτάρροδός ἐσσι μάχῃ ἐνὶ κυδιανείρῃ.
10 Ἄμμε σεφὸ ἀντιβίων φύγαδε τρωπᾶσθαι ἐφῆκας,
Ἀνδράσι δυσμενέεσσι δ' ἕλως κὴ κύρμα γένεσθαι.
11 Ὡς δ' ὄϊας βρώμλιν ἡμέας ἄνδρεσσιν ἔθηκας,
Οἳ δ' ἡμέων κρέα δάπτεσιν· ἀφὸ δ' ἔνθα κὴ ἔνθα
Ἡμέας ἐσκέδασας λαοῖσιν ἐν ἀλλοδαποῖσι.
12 Λαὸν σεῦ ὠσεὶ τῆρ ἀπριήτους μετανάσας
Πέρνας, ἐπδανέες τε, ἀεικέλιον λάβες ὦνον,
Νήποινόν τ' ἐάας, ὅθεν ἄ νύ κεν ἄξιον ἄλφοις.
13 Γείτοσι μὶ λώβην κὴκ' ἐλέγχεά τ' ἄμμε τίθησθα,
Αἶχος ἀθυρμά τε πᾶσιν, ὅσοι σεφὲ ναιετάουσι.
14 Λώβην τ' ἀλλοδαποῖσι, κὴ ἔθνεσι μῶμον ἔθηκας,
Καὶ συγερλιὴ λαοῖσιν ἀοιδιὴ· τοὶ δ' ἄρ ἐφ' ἡμῖν

Οἷα

Κίνησάν τε κάρη, καὶ ὀνείδεα μυδήσαντο.
15 Αἰεί μευ σεσαφέως ἐλεγχείη καὶ ὄνειδος
Αἰδὼς ἀμφὶ σέσωπα κατηρείη τε κάλυψε.
16 Λωβητῆρα δ' οὐλόμυον καὶ ἐπισβόλον ἄνδρα,
Ὃς βλάπτει μύθοισι, φιλεῖ δέ τ' ὀνείδεα βάζειν·
Καὶ λιγὺ δυσμενέα συγερύν, κρατερόν τ' ὀλετῆρα,
Τῷ ὕβεις τι βίη τε σιδήρεον οὐρανὸν ἷκε.
17 Πάντα τάδ' ἄμμι γένοντα, ὅμως σέθεν οὐ λαθόμεσθα·
Οὐδέ σευ ὅρκια πρὸς ἐφευσάμεθ' ἀφραδίῃσιν.
18 Οὐδέ ποτ' ἄψορρος κραδίη ἄπο σεῖο λιάδη·
Οὐδὲ πόδες κλίναντο παρὲξ ὁδοῦ, ἣν ὄπιτέλλεις.
19 Εἰ γε σὺ ἄμμε τ' ἄραξας, ἰδὲ πληγῇσι δάμασσας
Χώρῳ ἐν οἰοπόλῳ, ὅθι τ' ἄγρια φῦλα δρακόντων
Ναίουσιν· νεφέλῃ δέ τ' ὀϊζύος ἀμφεκάλυψας,
Δεινῇ, σμερδαλέῃ, σκιῇ ὡς θανάτοιο μελαίνῃ.
20 Ἠμετέρου Θεοῖο εἰ ἐνόμησ' ὀλέσσομεν,
Καὶ θεῷ ἀλλοδαπῷ πρὸς χεῖρας ὀρέξαμεν ἁμάς·
21 Οὔ νύ κεν εἰφύσαντο Θεὸς τόδε, ἐξεύρε τ' ἐφύβεσι·
Ἀνδρομέης ὃ γὰρ οἶδε μυχοίπαλα μήδεα θυμοῦ.
22 Σεῦ δ' ἕνεκ' ὀλλύμεθα σεσφαγμένοι ἦμαρ ἁπάντων
Ἀνδράσιν ὠμηστῆσιν ἐλώεια νῶτα πελόμεσθα.
Ἀρνειοῖς ὀΐεσσιν ἐοικότες, ἅς τ' ὀλὴ δεῖπνα
Σφάζωσ' ἄνθρωποι, ἢ γὰρ δίκη ἔπλετο μήλων.
23 Ἔγρεο, πῇφι εὕδεις; τίπτ', Ἄναξ, τόσον ὕπνον ἀωτεῖς;
Ὄρσεο, μηδ' ἡμέας σευ ἀπώσσον νωλεμὲς αἰεί.
24 Τίπτ' ἄρ ἀφ' ἡμείων πρόσσω ὄμματα; πῇπτε σε λήθει
Αἰρεῖ ἡμετέρης τε δύης, καὶ ὀϊζύος αὐτῆς;
25 Ψυχὴ γάρ τε πεσοῦσα χαμαὶ κονίῃσιν ἐμίχθη,
Γαστὴρ δ' ἡμετέρη χθονὶ πίλναται ἠδ' ἐπιπήγει·
Ὄρσο, καὶ ἄμμιν ἄρηγε, λύ ἡμέας σῇ ἕνεκ' οἰκτῇ.

Ψαλ. μέ. 45

1 Ἧμοι καλὸν ἔπος κραδίη ἀνερεύγεται, ἐντὸς
Ἐν φρεσὶ πορφύρεσα· καὶ οἷά κε ἐς Βασιλῆα
Ἐν θυμῷ ποίησα, λέξομαι, ὑδὲ ἔπικεύσω·

Γλῶσσά

Γλῶσά μου ὧκα φθέγγεται, σύλῳ ἔοικεν ἀνδρὸς ὁμοίη,
Ὅς τ' οὖ ἐν πίνακι χάλκεα μάθῃ χερὶ ταχείῃ.
2 Κάλλιός ἐσσι βροτῶν κέκασται φυὴ ἀνθρώποιν,
Πολλή τοι χείλεσι ἀμφιπεπιθέρεται ἐπέεσσιν,
Ἥτε θεὸς σε γεγηθὲν τοῖς αἰεὶ ἐφίζει.
Τῷ τοι Θεός σοι δῶκε μακάρτατον ἔμμορμαι αἰεί.
3 Ζώσαι σὺν ξίφος ὀξὺ, τεὸν κλέος, σῷ ἐπὶ μηρῷ,
Ἀμφιέσας σὸν κῦδος ἀειρομένης ἀγλαΐην τε.
4 Σῇς πομπῇς ἐπόμαιο· σίβας τ' ἔχοι εἰσορόωντας,
Οἷος ἔφθης· αὐ δὲ φέρτερα ἄγε κύδεϊ γαίων,
Εἵνεκ' ἀληθείης, οἷον τὸν μῦθον ἔειπες,
Εἵνεκ' ἐπιεικείης τε καὶ εὐδικίης τεθαλυίης·
Δεινὰ δέ σ' ἐξείρεσθαι ἔπαγλά τε ἔργα διδάξει.
5 Σοὶ δὲ μάλ' ὀξέες εἰσὶ τανυγλώχινες ὀϊστοὶ,
Πῖπτον ἐνὶ κραδίῃ φίλ' ἐχθρῶν τῆ βασιλῆος·
Καί νύ κε πίπτοιεν λαοὶ ὑπὸ ποσσὶ τεοῖσι.
6 Σὸς, Θεὸς, ἔμπεδος αἰὲν ἐπήρατος ἔμπεδος αἰεὶ
Σκῆπτρόν τ' εὐθυμίης σκῆπτρον τέον, ᾧ ἔρα τε πάντων
Κοιρανέεις, χραίσμῃς τε· δίκη δέ τοι αἰὲν ὀπηδεῖ.
7 Εὐδικίην φιλέεις σὺ, κακὸν δ' ἔμμισας ἔργ' ἀνθρώπων·
Ἐχθραί σοι ἅ πέλονται ἀταλθαλίη τε καὶ ὕβρις·
Τῷ σε Θεὸς, ὁ Θεός σευ, ἑταίρων σευ πέρι πάντων
Ἔξοχα, παλάμῃ καὶ ἐύφρονι χεῖσεν ἐλαίῳ.
8 Σμύρνης ἀμβροσίης, ἀλόης, κασίης τ' ἐρατεινῆς
Πάντα μάλ' εἵματά σευ ὀδμὴν ἔκπαγλον ἔοικεν,
Ἐκ μεγάρων πύκα παιπτῶν ἀριστοὺ ἐλεφάντος,
Καλῶν, τοῖσί τε σὺ φρένας τέρπεαι ἔνδον ἰαύων.
9 Κεδναί τοι πάρα πολλαὶ ἀγακλειταί τε γυναῖκες,
Πότνιαι, ἐν δ' ἄρα τῇσιν Ἀνάκλων εἰδὶ θύγατρες·
Σοὶ δ' ὅπι δεξιτερῇφι παρίσταται ἡ βασίλεια,
Χρύσεα εἵματ' ἔχουσα, τετυγμένα ὀβρύζοιο.
10 Κλῦθι, φίλη θύγατερ, καὶ ἔνι φρεσὶ βάλλεο μῦθον,
Ἠδ' ἐμέθεν ξυνίης ὦπα· τεῆς ὀπιπλήθεο γαίης,
Καὶ δήμου, μή σοι μελέτω πατρώϊος οἶκος.
11 Καὶ τότε κεν βασιλῆα τεῆς γλυκὺς ἵμερος αἱρεῖ

Ἀγλαΐης· ὃ γάρ ὄτιν Ἄναξ πεὸς, ἄξιο δ' αὐτόν.
12 Δῶρόν τοι λαὸς τε φιλικρέτμοιο Τύρροιο
Δώσει, ἦρα φέρων· ἱκέται δέ τοι ἔμμεναι ἄντην
Εὔξονται, ἀφνειόταποι οἵ τ' εἰσ' ἐνὶ δήμῳ.
13 Καλὴ ἐντὸς ἅπασα πέλει θυγάτηρ Βασιλῆος·
Εἵματα δ' οἱ χρυσῷ πολυδαιδάλῳ ἔμμενα πάσεται.
14 Καί κεν πρὸς Βασιλῆα, θεὸν χρὸ λειρόεντα
Ποικίλον ἐσταμένην ἑανὸν πολύκεσον, ἄγοιτο·
Τῇ δ' ἅμα παρθένοι ἀγναὶ, ὀπάονες αἵ οἱ ἕπονται,
Πρὸς σὲ, Ἄναξ, κεν ἀγοίαθ', αἵ οἱ φίλαι εἰσὶν ἑταῖραι.
15 Αἵ ἐπεὶ ἔν κεν ἀγοίατ' ἐϋφροσύνῃσι νόοιο,
Ἐς θάλαμόν δε τ' ἴασι, δόμον βασιλήϊον ἔσω.
16 Ἀντὶ δ' ἧ πατέρων παίδες τοι ὄπαθεν ἔσονται
Τηλύγετοι, τοὺς πάντη ὅτι χθονὸς εὐρυσθένης
Θείης κεν λαῶν ἡγήτορας ἠδὲ μέδοντας.
17 Πάσῃσιν γλυκερὸν κλυτὸν ὄνομα θήσω,
Μνημοσύνιον δ', ἵνα τ' ἦσι κὲ ἐσσομένοισιν ἀοιδὴ
Τῷ τ' αἰνέσειαν λαοί σε θεμιστῆες αἰεί.

Ψαλ. μς'. 46.

1 Θαρσος κὲ μένος ἄμμι πέλει Θεὸς, ἦ τ' ἐπίκουρον,
Πάρ δέ τε ἄλκαρ ἑτοῖμον ὀϊζύος ἦμαπ λυγρῆς.
2 Ἡμέας ἔν κεν τόμος οὐ κεν ἕλοι φρένας, οὐδέ κε πάρος,
Εἰ κὲ ἐοῖσε ποτε γαῖα ὑποτρομέοιτο θεμέθλοις,
Κινυμένη, μέσσιν πίσοι ὄρεά τ' εἰς ἅλα δῖαν.
3 Εἰ κὲ κύμαθα μακρὰ πολυφλοίσβοιο θαλάσσης
Δεινὸν παφλάζοι, σμαραγοῖ δέ τε πόντος ἀπείρων·
Οἰδμαπ δ' ὑπ' ὄρεσσ' ὀρθοῖ, ἀκαχήσῃ δ' ὀκεανοῖο,
Καὶ βίη ὑψηλῶν ὀρέων τρομέοιτο πάρεινα.
4 Ἔστι δέ τις ποταμὸς καλλίῤῥοος, ἔτε ἑέθρα
Σωνεχὲς ἄρδοντα πόλιν εὐφρανέουσι Θεοῖο,
Καλλώ τε κλισίην, ἕδος ἱερὸν Ὑψιμέδοντος.
5 Ἦ τ', ἐπεὶ ἔν Θεὸς οἱ ἔνι μέσσῃ οἰκία ναιεί,
Στήσεται ἀσφαλέως, μιμνέει δέ τε ἔμπεδον αἰεί·
Ὅπλι οἱ ἄγχι Θεὸς, κὲ πρωὶ μάλ' ἔσετ' ἀμύντωρ.

6 Μαίνονται

6 Μαίνονται ἐκπάγλως, κλονέονταί τε ἔθνεα λαῶν,
Καὶ χῶρας ὁ δ' ἔπεμψεν ἐλιὺ ὄπα, τήκετο ἡ χθών.
7 Ἀρχὸς ἐπουράνιος σταπάων ἅμμιν ἀρωγός·
Εἴλαρ δ' ἀξένιλον Θεὸς ἔπλετο τῦ Ἰακώβυ.
8 Δεῦτ' ἄγετ' εἰσοράαδε θαυμλυτὰ ἔργα Θεοῖο,
Οἷά τε μάρμερα ἔρεξεν ὅπι φθονέι πυλυδοτείρη.
9 Ὃς πολέμυς καταπαύσειν ἐπ' ἔσχατα πείρατα γαίης·
Τόξον ἔαξε, κολεὸν δ' ἔπιεν δολιχόσκιον ἔγχος,
Ἅρματα κολλίεντα κατίφλιξεν πυρὶ κηλέῳ.
10 Σχέθε, καὶ εὖ τόδε ἴστε κατ' φρένα καὶ κατ' θυμόν,
Οὕνεκ' ἔγωγε Θεὸς, καὶ ὑπέρτερος εὔχομαι εἶμαι
Ἔθνεα δώσυσιν, καὶ ἐνὶ λαοῖσιν ἅπασιν
Ὑψισός τ' ἔσομαι, ὕπατός τ' ἐπ' ἀπείρονα γαῖαν·
11 Ἀρχὸς ἐπουράνιος σταπάων ἅμμιν ἀρωγός·
Εἴλαρ δ' ἀξένιλον Θεὸς ἔπλετο τῦ Ἰακώβυ.

Ψαλ. μζ'. Δ 7.

1 Χερσὶν συμπλαταγήσαθ' ὁμῦ πάντ' ἔθνεα φωτῶν·
Φωνῇ ἀγαλλόμενοι τε Θεῷ ἀλαλάξατε λαοί.
2 Ἀθάνατος γὰρ Ἄναξ ὕπατος, δεινός τε τέτυκται,
Αἰδοῖός τε, μέγας Βασιλεὺς ὅπι γαῖαν ἅπασαν.
3 Λαὸς πάμπαν ὀλέσσει ὑφ' ἡμῖν ἴφι δαμάσσας·
Ἔθνεά τε συφιλίξει ὑφ' ἡμετέροισι πόδεσσι.
4 Κλῆρον λιξάμενος μάλ' ἀειρωτῆ ἄμμι δίδωσι,
Κῦδος Ἰακώβοιο ὑπείροχον, ὃν τ' ἐφίλησεν.
5 Ἂν δ' ἔσῃ, ἀνέβυ τε Θεὸς μεγάλῳ ἀλαλητῷ,
Κυδιόων, εἰς ὕψος, ἀειζήλῃ δέ τε φωνῇ,
Σάλπιγγός τ' ἐνοπῇ ἱερὸν μένος Ἀθανάτοιο.
6 Δεῦτε Θεὸν λιγυρῇσιν ἀείδετ', ἀείδετε μολπῆς·
Ἡμέτερον μολπῇσιν ἀείδετ', ἀείδετ' Ἄνακτα.
7 Παμβασιλεὺς γάρ τ' ὄξι Θεὸς χθονὸς εὐρυοδείης·
Τῷ καί μιν μολπῇσιν ἀείδετε πανκλίμησιν.
8 Ἐθνέων κοίρανός ὄξι Θεὸς, ὃ δὲ τοῖσιν ἀνάσσει,
Ἥμενος εἰνὶ θρόνῳ, ὅθι οἱ ἕδος ἱερὸν ὄξι.
9 Σωὶ δ' ἦλθον λαῶν ἡγήτορες ἠδὲ μέδοντες,

Πάντες ὁμηγερέες λαῶ Θεῦ Ἀβραμιδάων·
Ὄπλι Θεῦ ἐνὶ χέρσ' εὖρύ τε κὴ ἔρκεα γαίης·
Ὅς τε μάλ' ὑψόσ' ἀέρθη, ὑπέρτατα δώματα ναίων.

Ψαλ. μη'. 48.

Ἀθάνατ' μέγας ἐσσι, κὴ αἰνετὸς ἔξοχα πάντων,
Ἀμ-πόλιν ἡμετέρη Θεῦ, ἐν ὄρεσ ἱερὸν αὐτῆς.
Κάλλεϊ κὴ χάρισι σίλβει ὄρεσ αἰπὺ Σιῶνος,
Ὡς εὐδείελόν ἐσ', εὖ κεῖται κὴ πάσι πάντων,
Τοὔνεκα κὴ πάσης μέγα κῦδος ἀγαλμά τε γαίης·
Ἔνθα ἧ ὄρος βορέην τετραμμένον ἐξεφαάνθη
Τῆ μεγάλη Βασιλῆος ἀγακλυτὸν ἱερὸν ἄστυ.
Τῆδε κὴ ἐν πύργοισιν ἀείγνωτος Θεός ἐστιν,
Οἷόν τ' ἀσφαλὲς ἔρμα, κὴ ἄαστον εἴλαρ ἔησιν.
Ἠγερθεν γὰρ ἄνακτες, ὁμηγερέες τ' ἐγένοντο·
Βὰν δ' ἴσαν μεμαῶτες ἀολλέες, ἠδὲ παρῆλθον.
Ὡς ἴδον, ὡς θάμβησαν, ἀμηχανίη δ' ἔχε θυμὸν,
Ταρβοσύνη δὲ τ' ἄφαρ φύγαδ' ἐμνώοντο ἕκαστος.
Ῥίγησαν δ' ἔκπαγλα τεθηπότες, ἦ μάλ' ἄρα σφέας
Εἶλε φόβος τ', ὀδύνη τε φόβῳ κρυόεντος ἑταίρη,
Ὡς ὅταν ὠδίνεσαν ἔχῃ ἄχος ὀξὺ γυναῖκα.
Ὡς δ' ὅτε καρτερὸς εὖρος ἐρεμνῇ λαίλαπι θύων,
Ὀρνύμενος σευ ἔκητι νέας κατέαξε Κιλίσσας.
Εἴδομεν ὀφθαλμοῖσιν, ὃ κὴ τὸ πρὶν πυθόμεθα,
Ἐν πόλει Ἀθανάτοιο (ὅ, τι κραπῆσιν ἀνάσσει
Πάσῃσ' ἐν πολέμῳ) πόλει ἡμετέρῃ Θεοῖο,
Ὄπλι Θεὸς σήσει, θήσει τε μιν ἔμπεδον αἰεί.
Σῆς ἀγανοφροσύνης, ὦς τ' ἤπιος ὡς τ' ἐλεήμων
Ἐσσὶ, Θεὸς, μέσῳ μεμνήμεθα σῷ ἐνὶ νηῷ.
Σὸν δὲ κατ' οὔνομ', Ἄναξ, οὕτω τὸς ἄπαντ' αἶνος,
Εὐρύ τε σὸν κλέος ἔβλον ἐπ' ἔσχατα πείρατα γαίης·
Δεξιτερὴ δὲ δίκης πλείη ὁσίων τε θεμίστων.
Γηθήσαι κὴ εὐφράνοιτ' ὄρεσ αἰπὺ Σιῶνος·
Κῶραι Ἰουδαῖαι λίην κεχαρήατο θυμῷ,
Οἷα σύ γ' εὐνομίῃσι δίκαιά τε πολλά τ' ἔρεξας.

12 Δεῦτε

12 Δεῦτε φειδιχάδαι ἱερὰ κρήδεμνα Σιῶνος
Κύκλῳ πομπάζεσθε, καὶ ἐν φρεσὶ βάλλεσθε πύργους.
13 Εὖ δὲ νοεῖσθ', ὅσσαι, οἵαί θ' οἱ ἐπάλξιές εἰσιν,
Οἵαί τ' αὐλαὶ ἀνακτόρειαι καὶ δώματα καλά·
Καὶ ξυνίετ', ὄφρ' εἴπητε καὶ ἑσομένοισιν ὀπάσσω.
14 Οὗτος γὰρ Θεὸς ἄμμι Θεὸς ἀϊδίη τ' ἀμπερὲς αἰεί·
Πομπὸς ὅδ' ἔσσεται ἄμμι καὶ ἐς βιότοιο τελευτήν.

Ψαλ. μϑ'. Η 9.

1 Κέκλυτε μυρία φῦλα βροτῶν, λαοὶ δέ τε πάντες,
Υ̓́μμες ἀκούσατε πάντες ὅτε χθονὶ ναιετάοντες,
2 Ἠμὲν νώνυμοι, τοῖσιν γένος ὄξιν ἀφαυρὸν,
Ἠδ' ὅσσοι κλειτῆς γενεῆς τε καὶ αἵματός ἐστε,
Ἀμφότεροί τ' ἀναμίξ, ἀφενοί τ' ἠδὲ πενιχροί.
3 Μῆτιν ἀνὰ στόμ' ἔχων πεπνυμένα πολλ' ἀγορεύσω·
Καὶ πυκινὰ φρεσὶ μάλ', ἐμοῦ μελεδήματα θυμοῦ.
4 Ἀμφότερον, πυκινόν τ' ἐρέω ἔπος ἠδὲ παλαιὸν,
Εὖ καὶ ὀπιζομένῳ ὅ, τ' ἐν ὕασι καὶ φρεσὶ θῆκα·
Αἶνον ἀείσω ἀναπτύξας φόρμιγγι λιγείῃ.
5 Τίπτε μέ κεν δείσας ἴσχοι ἀκήριον ἦμαρ λυγρῷ,
Ὁππότε με πέργης ξυμφορὴ κυκλώσεται ἄτη,
Κήδε' ἀναχόμενον, καὶ ἐν ἄκρῳ γήραϊ οὐδῷ,
(Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν)
Ὄφρα βίᾳ πύματον τελέῳ δρόμον, ἄλγεα πάσχων;
6 Χρήμασι μὲν πολλοῖσι πεποιθότες ἄνδρες ἀγαυοὶ,
Ὄλβῳ τε πλήτῳ τε κεκασμένοι εὐχετόωνται.
7 Τῶνδ' ὔπερ ψυχὴν ῥύσασθαι κήτεσιν ἐοῖσιν,
Οὔτέ θ' ἑλὼν αὐτὸς, οὔθ' οἷα κασιγνήτοιο·
Οὐδ' εἴ πε καὶ ἄποινα θεῷ ἀπερείσια δοίη,
Οὐδ' ὥς μιν θανάτοιο δυσηχέος ἐξαναλύσει·
8 (Οὐ γάρ π ψυχῆς ἀντάξιον ἄλλο γένοιτο,
Οὐδ' εἴ πε τόσα δοίη, ὅσα ψάμαθός τε κόνις τε·
Εἴ γέ πε οὖν ἐθέλοι ζωάγρια μυρία πάσαι,
Ἀλλ' οὔ π ῥύσει, παύσει δέ τε νωλεμὲς αἰεί.)
9 Ὄφρ' ἔτι καὶ ζωοῖσιν ὁμιλέοι ἤματα πάντα,

Μηδὲ

Μηδ' ποτ' εἰς ἄϊδαο μολεῖν φθιμένοισι μετεῖπε.
10 Εἶδε γὰρ ὡς ἔθανόν τ' ἄνδρες πύκα νῶϊ φρονέοντες.
Ξυνὴ δ' ἀμφοτέρεσσιν ὁμῶς βιότοιο τελευτή,
Ὅς δέ τε πέπνυται, ὥ τε φρένες ὐδ' ἠΐσαιεν.
Μίγδ' ἄλλοισιν ὅλοντο χαλίφρονες ἀνέρες αὖτως,
Νήπιοι, ἀγεξίωται, ἐφημέρια φρονέοντες,
Καὶ ζωὼ ἑτέροισι λίπον κῆ πλοῦτον ὀπάσω.
11 Καὶ τοῖς μὲν πάρος ἔτκεν ἐνὶ φρεσὶ τοῦτο νόημα,
Ὡς σφιν δώματα καλὰ τετεύχαται ἄφθιτα αἰεί,
Οἰκία δ' ἀλλήκτοις μέλλει γενεῇσιν ἔσεσθαι·
Ξυνά τε γαιάων, σφέων τ' αὐτῶν, ὀνόματ' ἔθεντο.
Ἤθελον, ὄφρα τ' ἔπειτα κῆ ἐσομένοισι πυθέσθαι.
12 Ἀνὴρ δ' ἐν τιμῇ περ ἐὼν μὴ ἔμπεδος ἔπλετ' ἀλήτης,
Ἀλλ' ὀλίγον, φορτὸν δὲ τάχ' ὀλλυμένοισιν ἔοικεν.
13 Αὕτη μὲν δίκη ἔστιν ὀπιχθονίων ἀνθρώπων,
Οἳ κεἰ ὀϊόμενοι φρεσὶ περ κεχρῆσθαι ἀγαθῇσιν,
Ἐξόπιθεν νηπίῃσι νοήμασιν ἅμβροτον ἐσθλόν·
Ἀλλ' ἔν τῶν δέ τε παῖδες ἐπευφήμησαν ὀπίσσω,
Οἵ ἔϊπον, πατέρων ἧς κακὴ σφισιν εὔαδε βουλή.
14 Ὡς δ' ὄϊες θησεῦσι, κῆ εἰν ἄϊδαο πεδεῖται,
Σχέτλιοι, ἦ θάνατός σφι νομεὺς ὧς πώεσι μήλων
Σημαίνει· τῆμος δὲ κρατέειν μέλλουσι δίκαιοι,
Πρωΐοι ἀνστάντες· φλίεται δέ σφ' εἶδος ἀγητόν,
Καὶ μύῳ εἰνὶ τάφῳ ὀλοφώϊα, εἷς ὃν ἕκαστοι
Οἴχονθ' ἕκ μεγάρων εὐπήκτων, ἃ πρὶν ἔχεσκον.
15 Ἀλλὰ Θεὸς ψυχήν μευ ῥύσεται ἐκ θανάτοιο,
Ἔκ τ' ἄϊδαο δόμων, ἵνα μὴ κρατέωσιν ἐμεῖο,
Οὕνεκά με σεφθρων ὕσσεξεν, ἠδὲ σαώσει.
16 Μή τι σε τάρβος ἔχοι, ὅτε τις τ' ἄφενος ἔναιεν
Ἐξ οἰκοφελίης, καὶ οἱ ἄσσεται ὄλβος ἔπιτυ.
17 Οὐ μὲν γάρ τι θανὼν ποτε οἴσεται εἰς ἄϊδαο,
Πάντα δὲ καλλείψει, κοὐδὲ σὺν οἱ ἔκ ἂν ὀπάσσοι.
18 Εἰ κῆ ζωὸς ἐὼν ἔτ' αὐτὸν περ μακάριζε,
Νήπιος, ὕδέ τι οἱ γε κακὸν σεφτόσσετο θυμός·
Ἦν δέ σε εὖ ἔρξῃς, σύ τ' ὀνήσεαι, ἠδέ σ' ὀπάσσω
Ἄνδρες ἐπαινήσουσι, φάτις δέ τε ἔσσεται ἐσθλή.

19 Ἐς

19 Ἐς πατέρων γλωσσὴν, νεκύων τ' ἐφ' ὁμήγυεν εἰσιν·
Οὐδέ ποτε γλυκερὸν φάος ὄψεϊ ὀφθαλμοῖσιν·
20 Ὅσπερ τ' ἦν ἀφνειὸς ἐν ἀνδράσιν ἔμμορε τιμῆς,
Οὐδέ π πέπνυται, μάλα ἶ φρένας ἠλεός ὄτιν,
Ἤ λίλιω ὄγε φησὶ τάχ' ὀλλυμένοισιν ἔοικεν.

Ψαλ. ρ'. Δ0.

1 Ἀθάνατος φώνησε Θεὸς μακάρεσσιν ἀγαθοῖσιν,
Παμβασιλεὺς ἔπος εἶπεν, ὃν κράτος ὄτι μέγιστον·
Συγκάλεσεν δέ τε γαῖαν ἀπ' ἠελίε ἀνιόντος
Μέχρις δυσομένοιο ὑπὸ ζόφον ἠερόεντα.
2 Οὔρεσϑ' ἐκ Σιὼνϑ', ὅ, τ' ἔξοχα κὴ πέλει πάντων
Κάλλεϊ κὴ χάρεσι σίλβει, Θεὸς ἐξεφάνδη.
3 Ἡμέων μὲ Θεὸς αὐτὸς ἐλεύσεϑ', ὔ π σιωπᾷ,
Οὐδέ κ' ἄναυδϑ' ἔοι ἐλθών ποτε, οὐδέ δ' ἕκηλοϑ'·
Αὐτῷ ἶ πυρὶ φεφάρμδε πυρὸς μήνϑ' αἰδομένοιο,
Πάντ' ἀναμαμάον, δεινή τ' ἔστ' ἀμφὶ δύελλα.
4 Κηρύσσων ἀγορὴν δὲ καλέσεϑ' οὐρανὸν εὐρύν,
Οὐρανὸν εὐρὺν ὑπερθεν, ἰδὲ χδόνα πυκνοδότειραν,
Ὅν λαὸν δικάσαι, ὅσιας κεῖνάί τε δέμιζας.
5 Δεῦρό μοι ἦν Ὅσιοι μὲν ἀολλίσαντες ἄγοιτε
Πάντας ἐμοὶ ϑερέας, οἵτινες δύεσιν ἔμοιγε
Ῥήτρην ποιήσαντο κὴ ὅρκια συνδεσίαων.
6 Τῶ ἶ δικαιοσύνην μέγας οὐρανὸς ἀμφαδὰ δήσει·
Αὐτὸς γὰ Θεός ὄτιν, ὃς ἐν λαοῖσι δικάζει.
7 Ἀντικρὺ δ' ἐρέω, σὺ ἶ σιώπιο, καί μευ ἄκουσον,
Λαός μοι, ἱερὴ Ἰσραήλιος γενέθλη·
Σοὶ δέ τε μάρτυρος ἔσομ', ἀπλεγέως τ' ἀγορεύσω,
Ἤ μάλ' ἐγὼ Θεὸς αὐτὸς, ἔγωγε ἶ σὸς Θεός εἰμι.
8 Οὔ τοι σευ δυέων ὀπιμέμφομαι, ἅϑ' ἑκατομβέων,
Αἵ τ' ἐμέο φεφάρμδε λαμπρὲς αἰὲν ἔασιν.
9 Ἐξ οἴκυ φάτνης τε τεῆς ἢ βοῦν ἐείμυκον,
Οὔτε τράγυς ποτ' ἔγωγε τεῆς ἐκ δέξομαι αὐλῆς.
10 Πάντες γάρ τ' ἐμοί εἰσιν, ὅσυς τρέφει ἄστετϑ' ὕλη,
Θῆρές τ' ἀγρότεροι, τίι τ' ἄλσεα καλὰ νέμονται,

Εἶλι-

Εἰλιπόδων τε βοῶν ἀγέλαι, ἠδὲ πώεα μήλων,
Ταῦτ' ἐμὰ πάντα πέλονται, ἄ, τ' ὄρεα χίλια βόσκει.
11 Οἰωνοὶ δέ τε πάντες ὀρέστεροι, οἵ τε κατ' ὄλλυ
Ἔνδα καὶ ἔνδα ποτῶνται, ἀείγνωτοί μοι ἔασι·
Πὰρ δέ μοι ἀγρονόμοι θῆρες καὶ κνώδαλα πάντα.
12 Εἰ μέ ποτ' ἦν σίτοιο φερέμεν φρένας ἵμερος αἰεί,
Οὐκ ἄν τοι εἴρεα, οὐδ' εἴπω πίπτε δέ με χρειώ·
Πάντ' ἐμὰ γάρ τε πέλονται, ἄμα τραφερή τε καὶ ὑγρὴ,
Ὅσσα τε κεῖθι νέμονται, ἵν' ἀνδράσιν εἴδαρ ἔασι.
13 Ταύρεια κρέ' ἔδοιμι; ποίμι δ' αἷμα τράγειον;
14 Ἀλλ' αἶνόν τε χάρειν τε θεῷ καὶ ἱερὰ θύσειν·
Εὐχωλάς τε τιὰς ἀποτίσειν Ὑψιμέδοντι.
15 Ἠδέ μ' πόλλ' ἱκέτευσον ὀϊζύος ἤμπλοχθον
Ἄτης τ' ἀρχαλέης· σὲ γὰρ ῥύσομαι, ἠδὲ σαώσω,
Καὶ σύ με κυδανέεις, καὶ ἐμὸν κλυτὸν αἶναν ἀείσεις.
16 Πρὸς δέ τ' ἀλιτρὸν ἔειπε θεὸς, καὶ ἐνείκεσε μύθῳ.
Τίς γὰρ σύ ἐσσι βροτῶν, ἵνα θέσφατά μευ καταλέξῃς;
Ἦ ἵνα σωθείλω μευ ἔπεα σόμ' ἔχων ἀγορεύσῃς;
17 Ἐχθραὶ ἐπεὶ καθόδηβοσύναι σοι πάμπαν ἔασι,
Καὶ ἐπέων μευ ἔκ ὄθεαι φρενὸν, οὔτ' ἀλεγίζεις.
18 Κλέπτῃ μὲν συνέειθον ἔης, ὅτε πυ μὲν ὄπωπας·
Μοιχοῖσιν δέ γ' ὁμίλησας, καὶ ἐταῖρος ἔπεσθαι.
19 Ἐς κακὸν ἀλόμενον σόμα σεῦ μάλ' ἐτοῖμον ἔθηκας·
Γλώσσῃ καὶ μύθοισι δόλους καὶ κέρδε' ὑφαίνεις.
20 Κερτομέων ἐπέεσσιν ἀδελφεὸν αἰσυλα βάζεις,
Ἠμὺν ἐν λέκτρῳ, καὶ πόλλ' οἱ ὀνείδεα χεῦαις,
Αὐτοκασίγνητόν τε κακῷ ἐκυδάσσατο μύθῳ.
21 Καὶ σὺ μὲν ὧν τάδ' ἔρεξας, ἐγὼ δ' ἀκέων ὧρ ἔμεινα·
Πάντα δ' ἔχον σιγῇ, ὡς ἐκ αἴσυπε ἐοικώς.
Φῆς δέ με τοιόνδ' εἶναι, ὁποῖός ἔπεσθαι καὶ αὐτός.
Ἀμφαδίλλω δέ σ' ἐλέγξω, ἐναντίῃ ἔργα τε θήσω.
22 Φράζεσθ' ὧν τόδε θυμῷ, οἱ ἐκλελάθεσθε Θεοῖο,
Μή τι διαρπάξω ὑμέας, πάρα δ' οὔτις ἀρωγός.
23 Αἶνον ἐμοὶ αἶνόν τε δίδως, καταδύομαι ἔδρης,
Ἱερὰ, καὶ μέλισσα πίει ὅς τ' αἴσιμα εἰδὼς

Ὃς

Ὃν βίον οὗ ἔθυνε, φόως πῶδ' ἐγγυαλίξω,
Φαίνων ἐρανόθεν, καί οἱ ἐκ Θεῦ ἔσεται ἄλκαρ.

Ψαλ. να'. ζ'.

1 Σοὶ κῦ μειλιχίλιω, Θεὸς, ἵλαθι, καί μ' ἐλέαιρε,
Καθδ' ἔλιόν τε τεὸν μάλα μυείον ὅσια θ' ἁμάρτων
Δειλὸς, ἀΐζωσον πάντ', ἔκ τ' ἀλιτήματ' ἄλεψον.
2 Νίψον ἀλιτροσυνάς, καὶ λύματα πάντα κάθηρον,
Λύματα πάντ' ἄτης καὶ ἁμαρτάδος, ἥπερ ἀάδιλω.
3 Τὰς γὰρ ὑπερβασίας μευ ἀνέγνων, ἠδ' ὀπιεύσω·
Καί μευ ἀταθαλίη μοι ἐναντίη αἰὲν ἐπύχθη.
4 Ἥμβροτον, ἠλιτόμιλω σὲ, σὲ μοῦνόν φημ' ἀλιτέσθαι,
Καὶ τόδ' ἔρεξα κακὸν σεῦ ἐναντίον· ὄφρα τ' ἀμύμων
Εἰνὶ λόγοισιν ἔῃς, καὶ ἀναίτιος εἰνὶ δίκῃσιν.
5 Εἰνὶ τ' ἀταθαλίῃ πλάδην πάλαι ἔμβρυον αὖτως,
Ἐν δέ τ' ἀλιτροσυνῇ σεῦ μ' ἔλλαβε γαστέρι μήτηρ.
6 Πότνι' ἀληθείην μάλα τοι φίλη, ἔνδον ἔεσα,
Ἀνέρος ἐν φρεσὶ δεδαίσκεις· σὺ δ' οἷ πινυτίῃ με διδάσκεις,
Κρύβδιν, ὄφρ' οὖ εἰδῶ ἐνὶ φρεσὶν ἠδὲ νοήσω.
7 Σμῆχε δ' ἐμὺ ὑσσώπῳ, καθαρὸς δέ τε ἔσομαι ἔμπης·
Νίζε με, λευκότερος χιόνος τε κεν αἶψα γενοίμιλω.
8 Χάρματά μοι φαίνοις, ἐθλῆς τ' ἐκ σέο πυθοίμιλω
Ἀγγελίης· ἵνα γηθήσῃ ποτέ μοι φίλον ἦτορ,
Ὀστέα θ', ἃ ξυνέαξας, ἐϋφροσύνῃσιν ἰανθῇ.
9 Ὄμματά σευ τρέψειας ἐμῶν ἀπ' ἀταθαλιάων,
Πάντα δέ μευ ἀλιτήματ' ἄΐστά τ' ἄπυστά τε θείης·
10 Τεῦξον, Ἄναξ, κραδίλιω καθαρλιύ μοι, κῆ νόον ἐθλὸν
Αὖθις ἐνίσαξον, θὲς δ' ἄρτιον ἐν φρεσὶ θυμόν.
11 Μήποτ' ἀπόῤῥιψόν με τεῆς ἄπο νόσφιν ὀπωπῆς,
Πνεῦμ' ἅγιόν τε τεὸν μή μευ ἀπαίρετο πάμπαν.
12 Αὖθις μ' ἰὐφρήνειε φόως τεὸν, ἠδ' ἀποδώῃς,
Ὅ πρὶν ἔλιω γε, τεῆς μοι χάρμα καὶ ἦδος ἀραρῆς·
Καί μοι πνεῦμα τεὸν πανιλεύθερον ἔρμα γένοιτο.
13 Ἐκ δ' ἄρα σεῖο θεοπεσίας ὑποθήσομ' ἀλιτροῖς,
Ἧ τ' ἴέναι σφιν ἔοικε, διδάξω σὸν κατὰ θυμόν·

Οἱ

Οἱ δ' ὅπῃ σὲ τρέφονται ἀπάδαλοι οἵπερ ἔασιν.
14 Ἀλλά με ῥῦσαι, Ἄναξ, ἔκ θ' αἵματος ἔκ τε φόνοιο
Ῥῦσαί με φρόνιμον, ὅς μοι Θεός ἐσσι φόως τε·
Καὶ τότ' ἀγαλλομένη χαίρουσά τε γλῶσσ' ἀλαλάξει,
Ἔκ τ' ἐρέει, οἷος πιστὸς σὺ καὶ ἄπιδος ἐσσι.
15 Χείλε', Ἄναξ, μευ ἄνοιγε, πύλας τε κῆρος ὀδόντων·
Καὶ τότ' ἐγὼ τεὸν αἶνον ἀνὰ στόμ' ἔχων ἀγορεύσω.
16 Οὔτε γὰρ ἱεροῖσιν φρένα τέρπεαι, ὄφρα τε ῥέζω,
Θύτε τεῷ θυμῷ κεχαεισμένος εἶσ' ἑκατόμβας.
17 Ἱρὰ Θεῷ φίλα, συντετειμμένον ἀνέρος ἧτορ·
Ὃς τόδε ἔῃξεν, ἔρεξε τελέσσας ἑκατόμβας·
Θυμὸς, ὃ συντέτειπται ἐνὶ φρεσὶν ἧς ἕνεκ' ἄτης,
Καρδίη, ἣ τ' ἔρρηκται ἐνὶ στήθεσι φίλοισιν,
Οὗτοι ἀπόβλητ' ὄζῃ, Θεὸς, σοὶ ταῦτά γε δῶρα.
18 Εὖ ἔρξαις Σιῶνα, χάρις δέ οἱ ἐκ σέθεν εἴη·
Σιῶν' εὖ ἔρξαις, Σολύμων δέ τε τείχεα δείμοις.
19 Δὴ τότε δ' ἱερὰ καλὰ, δίκη δέ τε οἷσιν ὀπηδεῖ,
Ἀνδρες τοὶ ῥέξουσι, τεῷ κεχαεισμένα θυμῷ,
Ἱερὰ καὶ ὁλόκαυτα, τελέσσας θ' ἑκατόμβας,
Καὶ βόας ἱρούσεσ' ὅπῃ σῷ πρικαλλέϊ βωμῷ.

Ψαλ. ρϛ'. 52

1 Τίπτ' ἄρ' ὑφριάλεως τόσον εὔχεαι, ἀλκὶ πεποιθὼς,
Ὀβριμοεργὸ ὑβριστὰ, κακοξεφίῃσι νόοιο
Ἔρδων ἔργα βίαια; Θεὸς ὃ μάλ' ἔπποις αἰεί,
Τῦδέ τ' ἐγπείη μένει ἔμπεδον ἤματα πάντα.
2 Γλῶσσα δέ σευ ἄτας καὶ κέρδεα λυγρὰ φυτεύει,
Σχετλίη· ὡς ξυρὸς ὀξὺς, ὅ, τε χρόα ξεῖα τέμνῃσιν.
3 Αἰεί τοι τὰ κάκ' ὄζῃ φίλα φρεσὶ μυθήσασθαι,
Μᾶλλον ἢ ἐσθλ' ἀγορεύεμεναι καὶ ψεύδεα βάζειν
Μᾶλλ' ἀτὰρ ἐκ κόσμου, ἢ εἰπεῖν ὡς θέμις ὄζῃ.
4 Γλῶσσα κακὴ, ψεύδεσι κεκασμένη ἠδὲ δόλοισιν,
Ὡς σὺ λόγους φιλέεις, ὅσσοι τ' ὀλοφῶιοί εἰσι.
5 Καί σε θεὸς κάκωσε τόσον, ἠδ' ἀλαπάξει,
Ἐξερύσει δ' σεῦ ἐκ δώματος, ἠδ' ἀποκόψει
10 Ῥιζόθεν

Ῥιζόθεν ἐκ γαίης, ἵνα μὴ ζωοῖσι μετείης.
6 Ταρβήσουσι δίκαιοι ἐνὶ φρεσὶ, τῶδ' ὀρόωντες,
Καὶ ὅτι οἱ γελόωντες ἐνὶ σφισιν ὧδ' ἐρέουσιν·
7 Οὗτος ὅδ' ὃν εἶν ἀνὴρ, ὃς οἱ οὐ Θεὸν ἄλκαρ ἔθηκε,
Χρήμασι δ' αἰὲν ἔοῖσι (πολὺς γὰρ οἱ ὄλβος ὀπήδει)
Θαρσυνθεὶς ἰῷ, ὕβρει κὴ ἀταθαλίῃσι πιθήσας.
8 Ἀλλ' ἐγὼ ἠΰτ' ἐλαίη ἐν οἴκῳ εἰμὶ Θεοῖο,
Χλωρὴ, τηλεθόωσα· πέποιθα δὲ νωλεμὲς αἰεὶ
Αὐτῷ ἐνηείῃ, ἐπεί οἱ νόος ἔς' ἐλεήμων.
9 Τῷ σὲ, Ἄναξ, ἄλληκτον ἐπαινέσω, οἷον ἔοργας·
Σὸν δ' ὄνομ' ἐλπὶς ἐμὴ, μνηέω δέ τε τῷδε πεποιθὼς,
Ἐσθλὸν γὰρ τόδ' ἔμεν δοκέει Ὁσίοισι ποιοῖσιν.

Ψαλ. νγ'. ξζ.

1 Οὐκ ἔμμαι Θεὸν εἶπε κακλίφρων ὃν κτὶ θυμόν·
Ἐφθίατο φρεσὶ πάγχυ, νόος δ' ἀπάλωλε κὴ αἰδώς·
Ἡ μάλα λοίγια ἔργα κὴ ἀκ-όνομαστά τέλεσσαν,
Οὐδέ τις εἰνὶ βροτοῖσι πέλει, ὃς τ' αἴσιμα ῥέζει.
2 Ἐκ θρόνε ἔνθα κάθιζ' ἱερὴ ἷς Ἀθανάτοιο,
Οὐρανόθεν κατόρᾶτο ἰδὼν ἐπὶ φῦλ' ἀνθρώπων,
Εἴ πις σε πίπνυτο, καὶ οἱ νόος ἦε δικαίης.
3 Πάντες δ' ἐξέκλιναν, ὁμοῦ ἀπὸ πάντες ἄμαρτον,
Πάντες ἅμ' ἀχρεῖοι, κού σφεων ὁλοήτατος ὀδμή·
Οἷα κάκ' ἐργάζονται, ἐπεὶ οὐδ' εἷς αἴσιμα ῥέζει.
4 Οὐδέ π πω ἴσασιν ὅσοι κακὰ μηχανόωνται;
Οὐδέ π γινώσκουσι, νόον δ' ἀπορώλιοί εἰσιν;
Οἵδέ τε λαὸν ἐμὸν κατέδουσιν ἀπηνέϊ θυμῷ,
Ὡς κατά τ' ἄρτον ἔδουσιν, ὅτε σφέας λιμὸς ἱκάνῃ,
Σχέτλιοι, οὐδὲ Θεὸν γεγάμβροι ἐλλιτάνευσαν.
5 Ἔνθ' αἰνῶς φοβέοντ', εἴπερ τε κὴ ἀκ ἐνόησαν,
Τίπτε σφέας δέος εἶλε· Θεὸς γὰρ τ' ὀστέα φωτῶν,
Οἳ σ' ἀμφιστρατόωντο, διεσκέδασ' ἔνθα κὴ ἔνθα·
Τὸς δὲ κατηχύνας, κού σφιν κατ' ὀνείδεα χεῦας,
Ὅτι Θεὸς σφέας οὐκ ἀλέγει φρεσὶν, ἀλλ' ἀθεείζει.
6 Ὡς ὤφελλε φόως Ἰσραήλοιο κὴ ἄλκαρ

Ἐλθέμεν ἐκ Σιῶνος· Ἄναξ ἐὺν ὁππότε λαὸν
Εἰρέρυ ἐξανάγῃσι κακῆ, τότε κεν τ' Ἰακώβυ
Γηθήσαι γενεὴ, Ἰσραήλοιό τε παῖδες,
Πάντες τ' Ἰσακίδαι μέγα κεν κεχαρίσατο θυμῷ.

Ψαλ. νδ'. 54.

1 Ὄκλειρόν με, Θεὸς, ἀλλά τ' ὄνομα σόν με σάωσον·
Σῇ τε βίῃ ῥῦσαί μ' ἐξ ὕβριος εἰνὶ δίκῃσι.
2 Σώθεο, καί μευ ἄκουσον, Ἄναξ, ὅπα λισσομένοιο·
Καὶ ἔπεα στόματός μεῦ ἐνὶ φρεσὶ βάλλεο σῇσι.
3 Ξεῖνοι γάρ μοι ὄρουσαν ἀναρσιοι, ἀντία δ' ἔσαν
Ἀνέρες ἠνορέῃ πίσυνοι καὶ κάρτεϊ χειρῶν,
Οἵ τέ μ' ἀποκλεῖναι μέμασαν, καὶ θυμὸν ὀλέσαι,
Οὔ π Θεόν σφι πδέντες ἐναντίῃ, οὔτ' ἀλέγοντες.
4 Ἔστι Θεός μοι ἀρωγὸς, ἰδ' ἄσπετον ἔρμα βίοιο·
Ἀθάνατος μέν τοῖσιν, ἀμύντορες οἵ μοι ἔόντες
Ῥύατ' ἐμὴν ψυχὴν, ἵνα μὴ ἄϊδος δε κατέλθω.
5 Δυσμενέεσσιν ἐμοῖσιν ἐοικότα μισθὸν ὀρέξει,
Καί σφι κακὴν ἀπίσετ' ἀμοιβὴν, οἷον ἔρεξαν.
Τὼς σύγ' ὄλεσσον, ἐπεί σοι ἀληθείη φίλη ὄρνι,
Πέρχνυ κακῶς, ὡς γάρ μοι ὑπέρβιο καὶ κατένδυσας.
6 Ἱερά σοι μάλ' ἑκὼν ῥέξω, καὶ πείθομαι θυμῷ·
Καὶ τεὸν οὔνομ' ἀείσω, Ἄναξ, ὅτι ἐσθλὸν ἐπύχθη.
7 Πάσης γάρ με λύπης, καὶ ὀϊζύος ἐξανέλυσε·
Δυσμενέων δ' οἵτον κακὸν ὀφθαλμοῖσιν ὄπωπα.

Ψαλ. νε'. 55.

1 Κέκλυδί μευ φωνῆς, Θεὸς, εὐχομένοιό τ' ἄκουσον·
Μηδὲ λιάζεο πάμπαν ἐμῶν ἀπονόσφι λιτάων.
2 Σώθεο, καί μευ ἄκουσον, ἐπεὶ ἀτειρύγομαι ἔμπης
Πόλλ' ἔπεα στονόεντα, γόον δ' ἁλίασον ἀείνω,
Οἴκτε' ὀλοφυρόμενος, δεινόν τε γέγωνα βοήσας.
3 Ἀμφότερον, ἀλλά τ' ἀντίβιε θυμαλγέα φωνὴν
Οὐλομένην, διά θ' ὕβριν ὑπέρβιον ἀνδρὸς ἀλείτεω·
Μάλ γὰρ ἀταθαλίην ἐπ' ἐμοὶ δέσαν, αἰσυλά τ' ἔργα,
Τῶν οὐκ αἶψα, νεμέσησεν δ' ἐνὶ θυμῷ, Καὶ

Καί μοι ἐπεὶ κακολώατ', ἐγὼ σφισιν ἐχθοδόπησα.
4 Κῆρ ἄχομαι, τὸ ὄ καί μοι ἐνὶ στήθεσσι πατάσσει,
Καὶ δομέει ὀδυύῃσι πεπαρμένον ὀξείῃσι·
Καὶ μέλαν᾽ θανάτοιό με δείματα λυγρὰ κιχάνει.
5 Τάρβ᾽ με φρένας εἶλ', ὑπὸ δ᾽ τρόμ᾽ ἔλλαβε γῖα·
Πᾶς δέ τ' ἄφαρ πέφευγα, κὴ ἔξοχ' αἰνόθεν αἰνῶς,
Καί μ' ὀλοοῖο φόβοιο μέλαν νέφ᾽ ἀμφεκάλυψε.
6 Καὶ τότ' ἔφιν, Εἴθε πέρυσάς ποτ' ἔχοιμι πελείης,
Ὄφρα τ' ἀποπταίμιν, κὴ ἀναπνεύσαιμι πόνοιο,
Καί κέν μοι πάντων τε κακῶν κατάπαυμα γένοιτο.
7 Τῆλε μάλα πλαγχθεὶς, τότ' ἀπόοικθι ναιετάοιμι
Οἰοπόλῳ ἐνὶ χώρῳ ἔκηλ᾽ νόσφιν ἀπ' ἄλλων.
8 Σπεύδων δ' ὀπιτάχης ἐδέλοιμί κεν ὥς ἀλέασθαι
Λαίλαπα θεσπεσίην, δεινήν τ' ἀνέμοιο θύελλαν.
9 Ῥαῖσον, Ἄναξ, σκέδασον γλώσσας κὴ μήδεα πυκνὰ,
Ὡς μὴ πάντων ἦσιν ὁμὸς θρόος, ὅδ' ἴα χῆρυς,
Μηδ' ἕνα θυμὸν ἔχωσ', ὅτε συμφρασσαίατο βυλάς·
Ὅπλι βίην ὕβριν τε κακὴν τ' ἔεισ' ἀμπόλιν εἶδον.
10 Ἔνδον μὲ τὰ κάκ' ὄζει ἀμεμπτερὲς, ἀλλά μ᾽ πάντη
Ἡματά μιν νύκτας τ' ὀπὶ τείχεσιν ἀμφιβέβηκε·
Τῇδ' ἐνὶ μέσῃ ὁμῇ ἄτη ὀδυύη τε πέλονται.
11 Τῇδ' ἐνὶ μέσῃ ἀλιτροσύνη, κὴ χέτλια ἔργα·
Οὐδέ κακαὶ ἀπάτη ποδ' ἐὰς λείπουσιν ἀγυιάς·
Κερδαλέοι δ' αἰεὶ κὴ δόλιοποί εἰσι πολῖται,
Οἵ τε ὁμοφρονέουσι ἀμεμπτερὲς ἀλλήλοισιν.
12 Οὐ γάρ τ' ἐχθρὸς ἔλυν, ὃς ἐμοὶ κατ' ὀνείδεα χεῦε,
Καί κεν ἀνεκτότερον τόδε μοι κὴ κέρδιον ἦεν·
Οὐδέ τις ἀντιβίων, ὃς τλῆ μοι ἐπιφερτάσθαι,
Καί κέν μίν τ' ἔλαθον, καί μοι ξέα φυκιὰ πέλοντο.
13 Ἀλλὰ σύγ', ἰσόψυχε, φίλων πολὺ φίλτατε πάντων,
Ὅς μοι κήδισες ἑτάρων ἧς κεδνότατός τε,
Ὅς τέ μοι ἠμείψασες, ὁδῷ τ' ἔνι πομπὸς ἔασθα,
Γνωτὸς, τῷ τε μάλιστα πεποίθεα πᾶσαν ἐπ' ἰῇσιν.
14 Αἰεὶ δ' γλυκύθυμοι ὁμῆ συμφράδμονες ἦμεν,
Σεύ τε δὺ' ἐρχομένω ἴεσθ' ποτὶ δῶμα Θεοῖο,

Καί

Ἐνδ'

Ἔνθ' ἄμυδις πωλεύμεθ', ὁμόφρονα θυμὸν ἔχοντε.
15 Μάρψαν δέ σφεας ὦκα τέλος θανάτοιο κιχεῖν,
Ζώοντες δὲ κατέλθοιεν δόμον Ἄϊδος εἴσω·
Οὕνεκ' ἀταθαλίη σφιν ἐφέστηκεν, αἰσυλά τ' ἔργα
Πολλὰ μάλα σφετέρῃσιν ὁμῦ ἐνὶ δώμασι μίμνει.
16 Αὐτὰρ ἐγὼ Θεῷ εὔξομαι· ὁ δ' Ἀθάνατός με σαώσει.
17 Εὔξομαι ἑσπέριος, καὶ ἄμ' ἠοῖ φαινομένῃφι,
Καὶ ὁπότ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβέβηκεν,
Ὀρθὸν ἔγωγε βοήσω· ὁ δ' ἀκούσεται ὄπ' ἀκέσει.
18 Ῥύσετ' ἐμὴν ψυχὴν ἐξ αἰνῆς δηϊοτῆτος
Ἀντιβίων, ἵνα τ' αὖθις ἔκηλος καὶ σόος εἶμι·
Πολλοί γάρ μοι, ἐπεὶ ὃ παίσατο, εἰσὶν ἀρωγοί.
19 Ἦ ἔ ἐπακούσει ἐμεῖο Θεὸς, τοῖς δ' ἄλγεα δώσει
Δυσμενέεσσι, Θεὸς, τῷ τ' ἐς ἀπειρεσίους αἰῶνας·
Οἳ δ' ἐπεὶ οὖν θαλίῃσιν ὁμὴν δόλῳ ἔλλαχον αἶσαν,
Οὔ τοι ἀμείξοντες, Θεὸν ἐχ ὄφρονθ' ἑνὶ θυμῷ.
20 Οἳ δὲ φίλα φρονέουσι, καὶ ὅππότε οἱ μαχέσαντο,
Τὸς ἄρ' ὅγ' ὑβρίζων ἐδίηατο χειρὶ βαρείῃ,
Ῥίπτέων ψευσάμβροτος, κατὰ δ' ὅρκια πρὸς πατέησε.
21 Τῷ καὶ ἀπὸ γλώσσης γλυκίων ξέε βυτύεσσιν
Αὐδή, λειοτέρη τε, μάχη δ' οἱ κῆρ ἔμπλεε·
Αἱμύλιοι δὲ λόγοι μαλακώτεροι ἦσαν ἐλαίου,
Αὐτὰρ ὅμως ξιφέεσσιν ἐοικότες ἀμφιγύοισιν·
Ὡς ὁ μὲν ἔβλ' ἀγόρευε, κακὰ φρεσὶ βυσσοδομεύων.
22 Ῥῖψον ἐπ' Ἀθάνατον τὰ σὰ κήδεα, τῷ δὲ μελήσει·
Οὔτέ ποτ' ἦν βεώμης δεύεσθαι, οὔτέ τεν ἄλλως·
Οὐδέ γὸ ἐξυφελίξεται ἐάσει ἄνδρα δίκαιον.
23 Ἀλλά σφεας σύ, Θεὸς, δόμον εἰς Ἄϊδαο κατάξεις·
Ἄνδρες ἀπ' αἰῶνος νέοι ἠδ' ὑπὲρ αἶσαν ὀλεῦνται
Ἀνδροφόνοι, δόλιοί τε, πρὶν ἥβης μέσσον ἱκέσθαι·
Θαρσήσω δ' ἄρ' ἐγὼ, πίσυνός τέ τοι ἔσομαι ἔμπης.

Ψαλ. νε'.

1 Σύνθες, καί μ' ἐλέαιρε, Θεὸς, ὅτι δύεσθαι λύσσῃ
Ὠμὸν βεβρώθειν μεμάασί με φῦλ' ἀνθρώπων,

Πᾶν

Πᾶν δ' ἦμαρ πολεμίζοντες τείρουσι βίηφι.
2 Δυσμενέες με καταδρόξαι μεμάασι κατ' ἦμαρ·
Πολλοὶ γὰρ, Παντύρτατ' Ἄναξ, ἐμοὶ ἴφι μάχονται.
3 Ὀφρά με ταῖρος ἔχει, πίσυρος δέ τοι ἔσσομαι ἔμπης.
4 Αἰνήσω Θεὸν, οἷον ὑπέσχετο, καί μοι ἔειπε·
Θάρσος μοι Θεὸς ὄζι, τῷ ἔλπομαι, ἠδέ τι λίην
Δείσω, ὅ, τί μέ κεν τις ὀπιχθόνιος βροτὸς ἔρδοι.
5 Καθδ' ἦμαρ λοχόωσι φαεσίφρονα μεμαῶτες
Μῦθον ἐμὸν, κὴ σρέφαι ἀποκλιδὸν, ὅ, τί κεν εἴπω·
Τῶν δέ τε πάντα νοήματ', ἐμοὶ κακὰ μηχανάασθαι.
6 Οἱ δ' ἅπτοι ἓν ἤγερθεν, ὁμηγερέες τ' ἐγχύοντο,
Κρύβδην μοι λόχον εἶσαι, ἐμὰ ἴχνια τ' ὀξὺ νόησαι,
Ἔνθ' ἢ ἔνθ' ἂν ἴω, μέμασαι δέ τε θυμὸν ὀλέσσαι.
7 Ἦ κεν ἀταθαλίῃσιν ὑπεκφυγοίην ὄλεθρον;
Λαὸν σὺ συφέλιζε, Θεὸς, κεκοτηότι θυμῷ.
8 Πλαγκτοσύνην μευ ἄλλῳ τε σὺ ἔγνως ἠδ' ἐνύπνῳ·
Εὖ πεπαταγμένον ὀρθὸν, ὁσάκις ἴκια φεύγων·
Ἐν δὲ τεῷ ἀσκῷ ἐμὰ δάκρυα, μήποτ' ὀλῆται,
Κεύσαις· ἠκ ἄρα γε γεγράφαται τάδε σῇ ἐνὶ βίβλῳ;
9 Πρὸς σὲ βοῶντος ἐμεῖο, παλίμπετες ἀπονέονται
Δυσμενέες· τόδε γ' οἶδ', ὅτι μοι Θεός ὄζιν ἀρωγός.
10 Αἰνήσω Θεὸν, οἷον ἔπος μοι ὑπέσχετο μύθῳ,
Αἰνήσω τὸν Ἄνακθ', οἷόν μοι ὑπέσχετο μύθῳ.
11 Θάρσος μοι Θεὸς ὄζι, τῷ ἔλπομαι, ἠδέ τι λίην
Δείσω, ὅ, τί μέ κεν τις ὀπιχθόνιος βροτὸς ἔρδοι.
12 Εὐχάς σοι ἀποτίσω ἐοικέ μοι, ἅσσερ ὑπίσχω·
Τῷ χάριν εἰδέω σοι, ὦ σὸν, Θεὸς, αἶνον ἀείσω.
13 Ῥύσαο γὰρ ψυχήν μευ ἐκ θανάτοιο σαώσας·
Οὐ πόδας ἓν κὴ ἔμοιγε φυλάξεις, μήποτ' ὀλιδῶ,
Ὄφρ' ἂν ὁδὸν βείω ἐπὶ πρὸ κατενώπια Θεοῖο,
Ζωοῖσιν μετεὼν, κὴ ὀρῶν φάος ἠελίοιο;

Ψαλ. νζ'. Ϡζ.

1 Οἰκτειρόν με, Θεὸς, μὴ οἰκτείρων, σοὶ γὰρ ἔγωγε
Θάρσωνός εἰμ' ἐνὶ θυμῷ ὑπὸ πτερύγεσσι τεῇσι.

Τάων δὲ σκιὴ ἔσετ' ἐμοὶ ἄπτις ἀλεωρὴ,
Καὶ σκέπας, εἰσόκεν αἶδε παρῳχήκωσι θύελλαι.
2 Εὔξομαι Ὑψιμέδοντι Θεῷ, Θεῷ, ὅς τέ μοι αἰεὶ
Εἶν ἔργοισι παείσατ', ἐμοὶ δέ τε πάντα τελευτᾷ.
3 Οὐρανόθεν καταπέμψει ὃν ἄγγελον, ὅς με σαώσει·
Τῷ δ' ἐπ' ὀνείδεα χεύσει, ὅ, τίς μοι μήσατ' ὄλεθρον,
Καί με καταδέξαι πάντ' ἤθελε νηλέϊ θυμῷ·
Ἀμφότερον δ', ἔλεόν τε, ἀληθείην τ' ἐρατειγλὼ
Αὐτῆς ἀπ' ὐρανόθεν Θεὸς ἥσει μοι ἐπ' ἀρωγῇ.
4 Ψυχή μευ μέσοισιν ἐνὶ λέουσιν ἐπύχθη,
Ἀνδράσι δ' οἳ πυρὶ ἶσον ἐνὶ φρεσὶ θυμὸν ἔχουσι·
Τοῖς ἐνὶ μέσοισιν κεῖμαι, ἀνὰ φῦλ' ἀνθρώπων,
Τῶνπερ ὀδόντες δοῦρα καὶ ἰοὶ, γλῶσσαι δ' ὀξύ.
5 Ὕψι, Θεός, σ' ἀνάειρ' ὑπὲρ ὐρανὸν ἀστερόεντα,
Καὶ κῦδος σὸν πᾶσαν ὑπὲρ χθόνα πτυξιότειραν.
6 Ποσσὶν ἐμοῖσι λίνον, καὶ δίκτυα λυγρὰ πέτασαν·
Κύψε δέ μευ ψυχὴ, καὶ δὴ πεσέεσθαι ἔμελλε·
Βόθρον ὄρυξαν ἔμοιγε, μέσῳ τῷ τ' ἔμπεσον αὐτοί.
7 Θυμὸς ἑτοῖμος ἐμοὶ, Θεὸς, ἐν φρεσὶ, θυμὸς ἑτοῖμος·
Μελπόμενος λιγυρῇ κλείω σέθεν αἶνον ἀοιδῇ.
8 Ἔγρεο κῦδος ἐμὸν, σὺν δ' ἐγρήγορθε καὶ ὕμνες,
Νάβλη καὶ κιθάρη, γλυκερῇσι δ' ἐντύνετε μολπῇσι·
Ἐγρήσομαί κεν αὐτὸς ἅμ' ἠοῖ φαινομένῃφι.
9 Ἀθάνατε, κλείω σε μέσῳ λαῶν ἐν ὁμίλῳ,
Κλείω σ' ἐν λαοῖσιν, ἐν ἔθνεσιν αἶνον ἀείσω.
10 Οὕνεκα μειλιχίη σεν ἀθέσφατος, ὐρανομήκης·
Σὴ δέ τ' ἀληθείη καὶ ἐς αἰθέρα δῖαν ἱκάνει.
11 Ὕψι, Θεός, σ' ἀνάειρ' ὑπὲρ ὐρανὸν ἀστερόεντα·
Καὶ κῦδος σὸν πᾶσαν ὑπὲρ χθόνα πτυξιότειραν.

Ψαλ. νη'. ξρ'.

1 Ἦ ἔτεόν γέ τι ὕμμι δίκη ἰθεῖα μέμηλεν,
Ὅππόθ' ὁμηγερέες, βουληφόροι ἄνέρες, ἧστε;
Ἦ ῥα καὶ εὐνομίῃσι δικάζετε, φῦλ' ἀνθρώπων;
2 Ἀλλά γ' ἀτάσθαλα θυμῷ ὃδὶ χθονὶ μηχανάασθε·
Ἄρσεν δ' ἀρταλέην ἰθύνετε χερσὶ, βίην τε,

Χειρες-

Χειροδίκαι, ὡς εἰ ἐπ]αίνετε ἴσα τάλαντα.
3 Πολλὰ μήλα πλάζονται ἀταύθαλοι, ἠδ' ἀλόωνται,
Ἐκκλίναντες ὁδοῖο, νεηγρέες ὥρ ἐόντες,
Ἄλλυδις ἄλλη, ἐπεὶ τὰ πρῶτ' ἐκ μαστέρ' ἤλυθον·
Τοῖς τ' αἰεὶ φίλον ἔς' ἀνεμώλια πίλλ' ἀγοράᾳειν,
Ἔμμαθον ἦν παιδνοὶ ἔτ' ἐόντες ψεύδεα βάζειν,
Μύθοι τε κλοπίες, οἵ σφιν πεδόθεν φίλοι εἰσίν.
4 Ἰὸν δ', ὡς ὄφις θανατηφόρον ἰὸν ἔχουσιν·
Οὐδ' ἐθέλουσιν ἀκοῦσαι, ἐοικότες ἀσπίδι κωφῇ,
Ἥτ' κερδοσύνῃσιν ἕον κόνι ὦας ἔδυσεν.
5 Οὐδ' ἐπαοιδῇσι φρένα τέρπεται, οὐδ' ὅτ' ἄκουσεν
Ἀνέρος, εἰ ἐπαοιδὸς ἐὼν πύκα μὴ τ' ἐπαείδῃ·
Οὐδέ τ' ἐθέλχθη, ἐπεί οἱ ἀκήλητον μένος ὄζῃ.
6 Τῶν δ' ἄρ' ἐνὶ στόμασι κρατερὰς, Θεὸς, ἄξον ὀδόντας·
Σιὼ τε μύλας νεαρῶν ἐνὶ γαμφηλῇσι λεόντων
Θλάσσον, Ἄναξ, ὀλοὰς ἵνα τ' ἐκπύσωσιν ὀδόντας.
7 Ὕδατα δ' ὡς, ἅτε ῥίμφα διέρρεεν ἄλλυδις ἄλλη,
Ὡς οἱ πικόμβοι, ἀφὸ τ' αἷμα ῥέοντες ὄλοιντο.
Τῶν εἴ πις τε βιὸν τανύσας προέηκεν ὀϊστοὺς,
Οἵ γ' ἄλιοι εἶεν, βέλος ὡς, ὅ, τε τοξοφόρειο
Τειχέα τε κὴ τετραχθὰ διατρυφὲν ἔκπεσε χειρός.
8 Ὡς δ' ὅτε κοχλίη ἰκμὰς ἀπόλλυται, ὃς δὲ τέτηκεν,
Ἦκα ῥέων, μάλα δ' ὦκα κατείβεται οἷ γλυκὺς αἰών.
Ὡς δ' ὅ τε μαστὶ γυναικὸς ἔνι βρέφος ἠλιτόμηνον,
Ὠκύμορον, τό, τ' ὄλωλε, πεὶν ἠελίῳ ἴδεν αὐγάς·
Ὡς οἱ μὺ τ' ἀπολοίατ', ἄφαρ τ' οἰχοίατο πάντες,
Μηδέ ϑ' ὁρῷεν ἔτ γλυκερὸν φάος ἠελίοιο.
9 Πεὶν χ' ἤϑοντο λέβητες ἀκαμβθέων κομμιμέων
Τμήτεσι, ἢ ζέσαν ἐπεγόμμοι πυρὶ κηλέῳ·
Τὲς ὅγ' ἀφαρπάξει καχῇ ὡς ἀνέμοιο θυέλλη,
Ὠμές τε ζωὸς ϑ' ἑλέει κεκοπιὸτ θυμῷ.
10 Γνῴσει δὲ δίκαιος ἀνὴρ, πίσιν ὀπποῖ' ὁρῷτο,
Οἷον δὴ καὶ ἄνδρες ἐοικότα μιδὸν ἄγοντο·
Ἰχνια δυσεβέων τε λοέσσεται αἵματι φωτὸς.
11 Ὧδέ κέ πς τότε εἴποι ἰδὼν ἐς πλησίον ἄλλον,

Ἦ ῥα δίκαιος ἀνὴρ ἔργων χαείτεσαν ἀμοιβὴν
Ἔλλαβεν· ἦ ῥα μάλ' ὄζει μέγας Θεὸς, ὅς τ' ὀπὶ γαίῃ
Κείνων πάντ' ἰδυίει, ἔχει δέ τε ἔκδικον ὄμμα.

Ψαλ. νϑ'. ℏ 9.

1 Ἐκ δηΐων ἕῦσαί με, Θεός μοι, καί μοι ἄμυνον
Ἀνέρας, οἳ ἐπ' ἔμοιγε κακὰ φρονέοντες ὄρουσαν.
2 Ἐκ δέ με τῶνδε σάω, οἳ ἀτάσθαλα μηχανόωνται·
Μήδ' ἔα ἀνδροφόνοισιν ἔλωρ καὶ κύρμα γενέσθαι·
3 Ψυχὴν γὰρ λοχόωντες ἐμὴν μεμάασιν ὀλέσσαι·
Ἀλκιμοι ἄνδρες ἐμοὶ ἐπ' ἀγηνέρατ'. οὔτέ μευ ἄτης,
Οὐδέ τ' ἁλιτοσυλίης, Θεὸς, εἵνεκα, πὺξ ἔοργα.
4 Οἳ ϑέουσιν, ἅμα σφέας αὐτὸς ἀρτιώαντες,
Οὔτε δίκη, ἐπεὶ οὔ σφιν ἐγὼ κακὸς αἴτιος ἦα·
Ὄρσεό μοι ἐπ' ἀρωγὴν, ὅρα δέ με, οἷα πέπονδα.
5 Τῷ σύ, Ἄναξ, ὅς τε τραπάων ὄρχαμός ἐσσι
Πασάων, καὶ ἀγακλειτὸς Θεὸς Ἰσραήλου,
Ἔγρεο πίννυσαι πάντ' ἔθνεα, φῦλά τε φωτῶν·
Μηδὲ ϑ' ὑπερφιάλων ποτὲ φείσεο, μήδ' ἐλέαιρε,
Οὗ τιν' ἀγιωσείῃσιν ἀταθάλλοντα νοήσῃς.
6 Πολλὰ μάλα πλάγχθεν, ποτὶ ἔσπερά τ' ἀπτέονται·
Καί σφεων ὥς τε κυνῶν ἰαχὴ γένετ' ὑλακομώρων,
Καππόλιν ὁππότ' ἴασιν ἀλώμενοι ἔνθα καὶ ἔνθα·
7 Ὀξέα δέ σφ' ἔπεα στόμ' ἐρεύγεται· ὡς ξιφέεσσι
Χείλεσι κερτομέουσιν· ἐπεὶ τίς, φασὶν, ἀκούει;
8 Καὶ δὲ σφεων γελάσεις σύγ', Ἄδμητ', ἠδ' ἀλογήσεις·
Ἔθνεά τε ξύμπαντα γέλον καὶ ἀδύρματα ϑήσεις.
9 Τῶν δ' εἴπερ μέγας ὄζος, καὶ οἱ σθένος οὐκ ἀλαπαδνὸν,
Ἀλλά γε κάρτος ἐὸν σοὶ πεφυλάξομαι ἔμπης·
Ὄπλοισί μοι, Θεὸς, ἔρμα, καὶ ὧν δέ τε εἷς ἀλιωχή.
10 Φθαίη κέν με Θεὸς λελιημένος, ὅς μοι ἐνίσσῃ,
Ὅς τέ μ' ἔϑων ἐλέησε καὶ ὄφρα μ' ἔκητι Θεοῖο
Δυσμενέας τὸ παδόντας, ὅ μοι φίλον ἔπλετο ϑυμῷ.
11 Μὴ κτείνῃς, μὴ λαὸς ἐμὸς φρεσὶν ἦσι λάθοιτο·
Τοὺς δ' εἴνοσι διασκέδασον, καὶ κάρτεϊ χειρῶν,

Καὶ

Καὶ συφέλιξον, Ἄναξ, ἡμέων σάκος εὐρὺ καὶ ἄλκαρ.
12 Οὕνεκά τ' ἀκειτόμυθοι, ἁμαρτοεπεῖς τε πέλονται,
Καὶ κακὰ πολλ' ὑπέρφιλά τ' ἀνὰ σφὰ ἔχοντες ἔειπον·
Αὐτοί κεν σφετέρῃσιν ἀγηνορέῃσιν ἁλῶεν,
Εἵνεκ' ἐπαράων, ψευδέων θ', ἃ τε μυθήσαντο.
13 Τὼς σύγ' ὄλεσσον, ὄλεσσον, ὄφρ' ἀφελῶς μὴ τελέωνται,
Πρόχνυ κακῶς, ἵνα μή τι ἔτι ζωοῖσι μετεῖεν·
Καὶ γνοῖεν, Θεὸς ὡς Ἰακωβιάδῃσιν ἀνάσσων,
Ἐς εὐρυκρείων καὶ ἐπ' ἔσχατα πείρατα γαίης.
14 Πολλὰ δ' πλαγχθεῖεν, ποτὶ ἕσπερά τ' ἀπονέοιντο·
Τῶνδ' ἰαχή τε γένοιτο κυνῶν ὡς ὑλακομώρων,
Καππόλιν ὁππότ' ἴασιν ἀλώμυοι ἔνθα καὶ ἔνθα,
15 Ἔνθα καὶ ἔνθ' ἀλόωντο ἰμειρόμυοί τι ἐδωδῆς·
Κνυζηθμῷ δ' φρεσίατ' ἐείδρομοι ἀμφὶς ἀγυιὰς,
Εἰ μὴ ἔχωσιν ἄλις βόσκειν σφιν γαστέρ' ἄναλτον.
16 Αὐτὰρ ἔγωγε τεὴν δύναμιν καὶ κάρτος ἀείσω,
Καὶ ἔλεον σὸν ἀείσω ἅμ' ἠοῖ φαινομένῳφι
Φωνῇ ἀειζήλῃ· σὺ γὰρ ἄλκαρ ἔμοί γε τέτυξο,
Ἠδὲ κακῇ ἀλεωρὴ οἰζυρῷ ἤματι λυγρῷ.
17 Σὲ κλείω, σοὶ ἀείσω, ἐμὸν κράτος· εἵνεκ' ἀμείνων
Ἔσσι ἔμοί γε Θεὸς, Θεὸς, ὅς τέ μοι ἵλαος αἰεί.

Ψαλ. ξ'. δύ.

1 Ἄ Μμε, Θεὸς, συφέλιξας, ἀπώσαό τ', ἠδ' ἐκέδασσας·
Ἄμμι καὶ ὠδύσαο· τρέψας δ' αὖθ' ἵλαος ἔσσο.
2 Γαίῃ ἐν τρόμον ὦρσας, ἀρηρώ τε βαρεῖαν ἐνῆκας,
Λίλιω μίν τε κακοῖσι συνέρρηξας πολέεσσι·
Τηὼ δ' ἄκεσαι ῥωχμώς τε καὶ ἕλκεα, μὴ ἐείπῃσιν,
Οὕνεκα νωλεμέως τε καὶ δὴ πεσέεσθαι ὀΐει.
3 Λαὸν σὸν μάλα πολλὰ ἰδέειν χαλεπὰ κατενάσσας·
Ἠδ' οἶνον πέειν καρωτικὸν ἄμμιν ἔδωκας.
4 Τοῖς δέ σε δειδίσσιν, καὶ ἐνὶ φρεσὶν ἀζομένοισι
Δῶκας ἐνὶ πτολέμῳ σημεῖον, ὄφρα τ' ἀερθῇ,
Ἀμφότερον, νίκης τε ἀληθείης θ' ἕνεκ' αὐτῆς.
5 Ὡς τε κακῶν λύσις ἠδὲ φόως αὐτοῖσι γένοιτο,

Οἳ σοι φίλτατοί εἰσι μὴ φρεσί· τὼνεκα κὴ σῇ
Ἡμέας δεξιτερῇφι σάω, κὴ ἄχνυσον ἐμεῖο.
6 Ἱερῷ εἰνὶ δρόνῳ πόλλ' εἶπε Θεὸς κὴ ὑπέσση 7
Χαιρήσω μιψ ἐγὼ, Σικίμων δ' ἀποδάσσομαι ἀγρὸς,
Καὶ Σοκχωθοίου βαθὺ ἄγκεα Σοκχαίοιο. 8
7 Ἔστιν ἐμὸς Γαλαάδ, ἐμὸς δέ τε ὄζει Μανασσῆς.
Ἄλκαρ ἐμῆς κεφαλῆς ἱερὴ ἵς Ἐφραὶμ ἰοῦ·
Θεσμὸς ἐμὸς δὲ δέμισας ἐμοὶ σκηπτοῦχος Ἰούδας 1
Ἀμφιέπει, τοῦδ' ἐ φῦλον βασιλήϊον ἄλλο.
8 Μωάβ δ' ἦ λέβης, ὅτε μοι ποδάνιπτρα μέμηλε, 2
Γίνετ'· Ἰδουμαίη ἦ πέδιλ' ὑπὸ ποσσὶν ἐμοῖσι·
Ῥίψω, ὄρρ' ἀγέλοιθ', ἣ τ' ἀμφιπόλων δίκη ὄζει·
Καὶ σὺ Παλαιστίνη γαιάων ἔξοχα πασέων 3
Χαῖρέ τε κὴ ἀλάλαζε, κὴ εὔχεό μοι ὑποείκειν.
9 Τίς πόλιν εἰς ἄρρηκτον ἀγινέμμαί μ' ἐθελήσει;
Τίς μοι Ἰδουμαίην εἴσω ὁδὸν ἡγεμονεύσει;
10 Οὐκ ἄρα σὺ, πεὶν εἰ, Θεὸς, ἄμμε πάρ ἐσυφέλιξας; 4
Οὐ σὺ, Θεὸς, στρεμάχοις ἀγὸς ἔσσεαι ἠμετέροισι;
11 Σὺ στρόμος ἔλθ' ἡμῖν κὴ ἀμύντωρ· ἄμμε γὴ ἔδασε
Ἐκ κακότητος, ἐπεὶ ἄλιον βροτὸς ἀνέρος ἄλκας.
12 Ἦ κεν καρτερὰ ἔργα Θεῷ ἄρξαιμθ' ἀραχῇ
Ῥεῖ· ὁ γὰ ἀντιβίους ἡμέων ὑπὸ ποσσὶ πατήσει. 5

Ψαλ. ξά'. ϐλ'.

1 Κέκλυθί μευ φωνῆς, Θεὸς, ἀχομθύοιό τ' ἄκουσον. 6
2 Γαίης ἐκ περάτηθεν ἐγὼ τετηκθύος ἦτορ] 7
Σοὶ ἐβόησ' ἱκέτης· σὺ δ' ἀγίνεε καί με κάθιζε
Πέτρῃ ἐφ' ὑψηλῇ, ἣ ὑπερτέρη ὄζεν ἐμεῖο. 8
3 Οὕνεκα σὺ σκέπας ἦσθ, κακῶν δέ τέ μοι ἀλεωρὴ,
Πύργος τε κρατερὸς δηΐων μου ἔναντ' ἐτέτυξο.
4 Σῇ κὴ ἐνὶ κλισίῃ οἰκήσω νωλεμὲς αἰεί· 9
Θαρσήσω πτερύγων τε τεῶν σκιῇ ἀμφικαλυφθείς.
5 Περφρονέως γὰ ἐμθὰ, Θεὸς, ἔκλυες εὐχωλάων·
Οὔνομα δ' ἀζομθύοισι τεὸν σὺ κλῆρον ὄπασας.
6 Δηθὰ μετὰ ζωοῖσιν ἔμθα Βασιλῆϊ δόσεις,

Μα-

Μακρὴν δ' οἱ αἰῶν', ὅπῃ τ' ἤματα θήσεις,
Καὶ πολλῆς γενεῆσι κυλινδομένους λυκάβαντας.
7 Πάρ Θεῷ ἄλληκτον μένει· ἔλεον δ' παράσχοις,
Σοὺ δέ τ' ἀληθείῃ, φύλακας μάλ' οἱ ἔμμεν' ἑτοίμους.
8 Τῷ κέ σε νωλεμέως κλείω, σόν τ' οὔνομ' ἀείσω,
Ὄφρά τοι ἤματα πάντ' εὐχωλάς μευ ἑπέσσω.

Ψαλ. ξϛ'. δ.

1 Ἦ τοι ἐμὴ ψυχὴ Θεῷ ἔλπεται, οὐδέ μιν αἰεὶ
Μίμνει τετληῶτα· φόως δέ μοι ἐξ ἔθεν ἦλθεν.
2 Ἦ τοι ὅγ' οἵ μοι ἐμοὶ πέλεται πέτρη τε φόως τε·
Ἀλκαρ ἐμόν τε κὴ ἔρμα· οὐκ ἂν μάλα κινηθείην.
3 Ἀνέει γὰν τέο μέχει κακὰ φρεσὶ μηπάσεσθε;
Ἀλλά γε πάντες ἔπειτα κατακτανέεσθε κὴ ὔμμες·
Ὡς δ' ὁπότε κλίνων τοῖχ' πεσέεσθαι ἔμελλεν,
Αἱμασιὴ δ' ὑποσειομένη νόσσα χαμᾶζε·
Ὡς δ' ὑμεῖς κε πέσοιτ', ἐπεὶ ᾗεδὸν ὔμμιν ὄλεθρος·
4 Βουλὰς βουλεύσιν, ὅπως τόνδ' ἄνδρα διώσονται
Ἧς πηῆς στερέσαι, κὴ ἀφ' ᾗ ἔδεν συφιλίξαι·
Ψεύδεα πολλὰ λέγειν αἰεὶ σφίσιν αὐδὲ θυμῷ·
Εὖ μὲ γὸ βάζωσι, κακὸν δ' ἄμυδις φρονέωσι,
Εὐχὰς μὲν στόματι, κραδίῃ δέ τ' ἔχουσιν ἐπαράς.
5 Πλὴν δ' ὅμως, φίλε θυμὲ, Θεὸν ποπνέγμενος αἰεί·
Οὕνεκεν ἐλπωρὴ θάρσος τέ μοι ἐξ ἔθεν ὄρνυ.
6 Ἦ τοι ὅγ' οἵ μοι ἐμοὶ πέλεται πέτρη τε φόως τε·
Ἀλκαρ ἐμόν τε κὴ ἔρμα· οὐ κινηθήσομαι ἔμπης.
7 Ἐκ Θεῦ ὄρνυται ἔμοιγε φόως κὴ κὸς ἀγητός·
Πέτρη ἐμὴ ἀλκή τε κὴ ἐλπωρὴ Θεός ὄρνυ.
8 Τῷ δ' αἰεὶ πίσυνοι θαρσεῖτ' ἔλπεσθέ τε λαοί·
Ἐκ τ' ἄρα χεύατέ οἱ ὑμῦ μελεδήματα θυμῦ,
Εὐχόμενοι· Θεὸς ἐλπὶς ἀρωγή τ' ἄμμι τέτυκται.
9 Πάντα τὰ φῦλα βροτῶν ματίν ψεῦδός τε πέλονται
Πάμπαν, ἄπιμοι ὁμῶς, οἵπερ τε λελόγχασι πιλύ,
Ἴσοι πομφολύγεσσι, κὴ ὡς σκιαὶ ἀΐσσουσιν·
Εἰ δ' ἰσάπαν πάντες ὁμαρτῇ εἶνι ταλάντοισι,

Ῥεῖά

Ῥεῖά κεν ἠερθοίατ' ὁμοῦ, ἀνεμώλιοι αὖτως,
Καὶ κενεοφροσύνης εἶεν κενεώτεροι ἀσκοί.
Μή π κακοῖσι δόλοισι πεποιθότες ἠδὲ βίηφι,
Τολμᾶτ' ὑβρίζειν, ματίην μηδ' ἔτι κε λυγρήν·
Εἰ κ̀ πλοῦτος ἀέξηται, ἄλις δέ τε ὄλβος ὀπηδεῖ,
Ἀλλά γε μὴ λίην ὑμῖν φρεὶ κῆρ μεμίλη.
Καὶ Θεὸς εἶπεν ἅπαξ, κ̀ δὶς τ' εἰπόντος ἄκουσα,
Ὅτι βίη Θεῷ ὄζιν, ἰδὲ κράτος ἐκ ὀπιπτεύν.
Καί σοι, Ἄναξ, ἔλεος πάρα, μειλιχίη τε νόοιο·
Ἀνδράσι γάρ τ' ἔργων, οἷ' ἐργάζονται, ἀμοιβὴν
Ἐκτελέεις, κ̀ ἐκάστῳ ἐοικότα μισθὸν ὀπάζεις.

Ψαλ. ξγ'. β'ζ.

Ἔσαι, Θεὸς, σὺ Θεός μου, ἄμ' ἠοῖ ὄρσομ' ἔγωγε,
Καί σε μάλα ἀσπασίως ἱλάσσομαι, εἴ πως ἐφεύρω·
Ὡς ὅτε τις τε ποτῆτος ἐμείρεται ἐν φρεσὶν ἧσιν
Ἀσκελὲς, ἕλμινθος πολυκαγκέα δίψαν ἀρῆναι,
Ὡς κ̀ ἐμοὶ ψυχὴ σέθεν ἄσπετος ἵμερος αἱρεῖ·
Σάρκες ἐμαὶ σε ποθεῦσιν ὁμῶς ἐνὶ δίψαδι γαίῃ
Λυστρῇ, ἥ τ' ὄμβρῳ ἀ δεύεται, ὐδέ τ' ἔέρσῃ.
Ὡς σέ ποτ' εἰν ἱερῷ εἶδον, σέ κ̀ αἶσιν ὁρᾶσθαι
Εἶη μοι, σέ τε, σιὸ τε βίην κ̀ κῦδος ἀγητόν.
Ὅτι φιλοφροσύνη σεῦ ἀμείνων ὄζι βίοιο,
Τοὔνεκ' ἐγὼ χείλεσιν ἐμοῖς τεὸν αἶνον ἀείσω.
Ὡς σέ τ' ἐπαινήσω, ἔως ἂν ζωοῖσι μετείω,
Ἐν τε σῷ ὀνόματι φῶς σ' ὑψόσε χεῖρας ὀρέξω.
Μυελῷ ὡς ἁπταλομιδὴν κ̀ πίονι δημῷ,
Ψυχή μοι ἄλις ἕξει ἐάων, ἐὐτε σὸν αἶνον
Χείλεσι γηθοσύνοισιν ἀνὰ στόμ' ἔχων ἀγαφθέγξω·
Ὅφρα σεῦ ἐν λέκτρῳ μέμνημαι, καί σ' ἀνὰ θυμὸν
Βάλλομαι ὁρμαίνων φυλακῆς ἐνὶ νυκτιερνῆσιν,
Οὕνεκ' ἀρωγὸς ἔμοιγε κ̀ ἄσπετον ἄλκαρ ἔπαλσας,
Τῷ σοι ἐπαγλαϊεῦμαι ὑπὸ πτερύγεσσι τεῇσι,
Τάων τε σκιῇ ἔνθα γανύσσομαι ἀμφιχαλυφθείς.
Ψυχή μευ κρατερῶς ἔχεται στέο, σεῖ τ' ἐπαείρει·

Δεξιτερὴ

Δεξιτερὴ δέ τεη ἐμοὶ ἀσφαλὲς ἔρμα τέτυκται.
9 Οἳ δέ μ' ἀποκτεῖναι μέμασαν, κὴ θυμὸν ὀλέσσαι,
Δύσοντ' ἐς τε βέρεθρον, ἐνέρτερά τ' ἔγκατα γαίης.
10 Ἄορι δεινόμυοι πεσέονται· φηρσί τε κύρμα
Μέλλυσιν κὴ ἀλωπέκεσιν μέλπηθρα γενέσθαι.
11 Ἀλλὰ Θεῷ Βασιλεὺς κεχαρήσεται· οἳ μὲν ὅμοσσαν,
Πάντες ἂν εὔχος ἀρείαδ'· ὅσσοις δὲ ψεύδεα βάζειν
Ἦ φίλον, ἦ ἔα νυ τοῖς ὅτι μάσσονά πες κε πέζοι.

Ψαλ. ξδ'.

1 Κέκλυθί μοι φωνῆς, Θεὸς, εὐχομένοιό τ' ἄκουσον·
Ἐκ δέ με δυσμενέων ἀνδρῶν ὀλοοῖο φόβοιο
Ῥῦσαι, μήτις τῶνδε φίλης μ' αἰῶνος ἀμέρσῃ.
2 Καί μ' ὕπαγ' ἐξ ἄτης, ἵνα μήποτε δῆνε ἀλειτέων
Δηλήσαίατ' ἐμὲ, κρύβδην ἄ, τε μητίσωσιν·
Ἐκ τε βίης ἀνδρῶν, οἳ ἀτάσθαλα μηχανόωνται,
Σχέτλιοι, οἵ τ' ἐπ' ἔμοιγε κακὰ φρονέοντες ὄρουσαν.
3 Οἵ τε κὴ ὡς ταυύηκες ἄορ σφι γλῶσαν ἔθηκαν,
Θηξάμενοι, κὴ ἐπεσβολίας ὡς πικρὰ βέλεμνα,
Ἀντία κερτομέοντες, ἀπόκρυβδην λαθικῆρες.
4 Κρύβδα πτυσκόμενοι, ἵν' ἀμύμονα φῶτα βάλωσιν·
Ὄν βάλον ἐξαπίνης, ἐπεὶ ἀ δέος οἱ ἐνὶ θυμῷ.
5 Οἳ δέ σφεας τ' αὐτὸς κακὸν ἐρέμεν ὀτρυύοντες,
Ἀμφὶ μάλα φράσαντο, πέδας ὡς δεσμά τ' ἐπ' ἄλλοις
Κρύψαιεν δολόεντα· κὴ εἶπον, Τίς κεν ἴδοιτο;
6 Οἵ τ' ἐπεὶ ἓν μέμασαν κακὰ ῥάπτειν ἀνθρώποισι,
Κέρδε' ἐρεύγηνσαν πολυμήχανοι αἰὲν ἐόντες,
Παντοίης τε δόλης, ἀπονδή τ' ἐτέλεσσαν ἕρκυναν·
Τῶν δὲ κλεψίφρων κραδίη μήτίς τε βαθεῖα·
Μήδεα πυκνά δ' ἕκαστος ἐνὶ φρεσὶ βυσσοδομεύει
7 Ἀλλὰ Θεός κ' αὐτοῖσι βέλος ἐχεπευκὲς ἐφείη
Δεινόν· καί νύ κεν ἐξαπίνης βεβλημένοι εἶεν.
8 Γλῶσσα μὲν ἦν ὅτι τοῖσιν ὀπίσσασον κακὸν ἧπεν,
Αὐτοὶ δὲ σφετέρῃσιν ἐπεσβολίῃσιν ὀλεῦνται·
Καί κεν ὁρῶντες ἄφαρ φυγάδες μνωοίατο πάντες.

9 Ταρβήσουσί τε πάντες ὁπιχθόνιοι ἄνθρωποι,
Ἔργον δ' ἀλλήλεισιν ἀναγγελέουσι θεοῖο·
Εὖ μὲν γὰρ γνώσονται ἐνὶ φρεσὶν, οἷον ἔρεξεν.
10 Ὅσσοι δ' εὐσεβέες, μέγα κεν κεχαρίσατ' Ἄνακτι,
Τῷ πίσυνοί τ' εἶεν· τοῖς τ' αἴσιμα ἔργα μέμηλε,
Καί νύ κεν εὐχετόωνθ', οἷσιν νόος ἔζεν ἀμύμων.

Ψαλ. ξέ. ϛ.

1 Αἰνός σ' ἐν Σιῶνι, θεὸς, μένει αἰὲν ἑτοῖμος,
Δέγμενος· ἐκ τ' ἄρα τοι τετελεσμένη ἔσται εὐχή·
2 Ὅς θ' ἱκετήσιός ἐσσι, καὶ εὐχομένων ὅπ' ἀκούεις,
Ἥ σέ κεν, ὅσσοι ἔασιν, ἱκοίατο φῦλ' ἀνθρώπων.
3 Νικῶσίν με κακορραφίαι, καὶ κρείσσονές εἰσιν·
Ἀλλ' ἐπεὶ ἀκάμεθα, σύγ' ἵλαος ἔσσεαι ἡμῖν,
Πάνθ' ἡμέων ἀλιτήματ' ἀταθαλίας τε καθαίρων.
4 Ὀλβίος, ὃν σύγε τοι αἱρεύμενος ἔξοχον ἄλλων,
Ἐκτὸς ἐπὶ ἔκεινας, σοί τε χεδὸν ἔμμεν' ἔθηκας,
Ὄφρα τοι ἐγγύθι ναίῃ ἐνὶ παστοφόροισι θεοῖσιν·
Ἡμεῖς κεν κορεσαίμεθ' ἐνηείης τ' ἐρατεινῆς,
Ἠδ' ἀρετῆς οἴκου νηοῦ θ' ἱεροῖο θεοῖο.
5 Ἡμέων σὺ δικαίησιν ἀκέσσεις μέρμερα ῥέζων,
Ὃς θεὸς ἐσσι φόως θ' ἡμέων, μόνος ἄμμε σαώσας·
Ὥστε πεποίθασιν, τοί τ' ἔσχατα πείρατα γαίης
Ναίουσιν· σὺ γὰρ ἐλπὶς ἅμα χθονὸς εὐρυοδείης
Συμπάσης, νήσων θ' αἳ ὑπόπροθεν εἰν ἁλὶ κεῖνται.
6 Ὃς τε καὶ οὔρεα μακρὰ διηνεκέεσσι θεμέθλοις
Ἵδρυσ' ἦφι βίηφι, τὰ δ' ἔμπεδον αἰέν ἄρηρε·
Ζώσατο δ' ὡς ζωστῆρα μέγα κράτος ὃν ὑπερκτόν.
7 Ὃς τ' ἠχὼ κατέπαυσε πολυφλοίσβοιο θαλάσσης,
Κύματα παφλάζοντά θ' ἁλὸς, λαῶν τε κυδοιμόν.
8 Ἄνδρες τηλεθάποι, οἵ τε χθονὸς εὐρυχόροιο
Ἔσχατα πείρατ' ἔχουσι, τεοῖς τεράεσσιν ἀτυχθέν,
Τὸν δὲ νέος φρένας εἶλε, σὰ μέρμερα ἔργ' ὀρόωντας·
Ἠέλιον δ' ἀνιόντ' εὐφρήνας, δυσόμβυόν τε.
9 Γαῖάν τ' ἐῢ κομέεις, θαμέσην τ' ἀρδμοῖσιν ἰαίνεις,

Ἀργυρέῃ

Ἀργυρέῃσι ἐοῇσι διϊπετέος ποταμοῖο
Πιαίνων, τοῦ δ' αἰὲν ἅλις ἀναβέβρυχεν ὕδωρ·
Οὕτω γάρ τε βροτοῖσι μελίφρονα σῖτον ὀρέλλεις
Ῥεῖ', ἐπεὶ ὣς σφιν ἑτοιμάσατο χθόνα πυκλυβότειραν.
10 Ὄγμους εὖ ἄρδων θῆκας πίειραν ἄρουραν,
Νειόν τε μαλακιῷ, εἶκεις δ' ὑπὸ βῶλος ἀέτῃφ·
Ὄμβρων μὲν μάδεσσι κὴ ὑετῷ ἦκα ξέοντι
Τήκεις, ὅν τε θάλος, χλοιερὸν δέ τε ἔργον ἀέξεις.
11 Δώρῃσι σοῖς κὴ ἐνιαυτὸν ἔτος ἐστεφάνωσας,
Τῶ σειτελλομένοιο ἄδῖνα νέον αἰὲν ἐόντα
Γαῖα φέρει· πολὺ δ' ἴχνι', ὃς ἐν νιφάδεσσι βέβηκας,
Στάζεν ὕδωρ ὅπῃ γλῶ, τῷ κὴ μάλα πᾶρ ὑπ' ὄδας.
12 Στάξ' ἐπ' ἐρημαίους τε νομοὺς κὴ δηφάδα χαῖταν·
Ἀμφὶ δ' εὐφροσύνην βοσαν ζώοντο λόφοι τε.
13 Πλῆντο βοτῶν λειμῶνες· ἄδῖνα τε νομοὶ φορέουσιν,
Ἀμφὶ θ' ἕσαντο βοῶν ἀγέλας κὴ πῶια μήλων·
Λήϊα ἀλδήσκοντος ἅμα φείσασιν ἄρουραι,
Ἀγκαλέ τε ζειδώρῳ ἅλις βριθειόντα καρπῷ,
Πυρῷ τε κειθῇ τε ἐπιστανὸν γανόωντα,
Ἀγλαΐῃ τ' ἀλαλάζει, εὐφροσυνήσι τ' ἀείδει.

Ψαλ. ξς'. 66.

1 Πάντα θεῷ ἀλαλάξατ' ὅπῃ χθονὶ φῦλ' ἀνθρώπων.
2 Οὖ κλέος ὀνόμαος λιγυρῇ ἀναμέλψατ' ἀοιδῇ·
Καί μιν ἐπαινεῦντες κλειτῇ κυδαίνετε μολπῇ.
3 Ὧδε δὲ κὴ εἴποιτε θεῷ· Οἷος σὺ τέτυξαι
Δεινός τ' αἰδοῖός τε; κὴ ὡς σέο μέρμερα ἔργα;
Ὥστε κὴ ἀντίβιοι, ὅτι τοι κράτος ὄξὶ μέγιστον,
Μὰψ ὑποείξουσιν, μάλα πειθομένοισιν ὁμοῖοι.
4 Ἀντίον σ' αἰδέσεται, κὴ ἀείσει ἔθνεα φωτῶν,
Ὅσσοι ναιετάουσιν ὅπῃ ζείδωρον ἄρουραν·
Γαῖά τε πᾶσ' ἀμυδὶς σέ τε κὴ τὸν ὄνομ' ἀείσει.
5 Δεῦτ' ἴδετ' ἔργα θεοῖο, καὶ ὡς μερόπεσσι βροτοῖσι
Δεινὸς ὄγ' αἰδοῖός τε, ἐπεὶ μάλα μέρμερα ῥέζει.
6 Θῆκε θάλασσαν ἄλα πορφυρέην ὥστε ξηρὸν ἠπείροιο·

Καὶ πεζοὶ ποταμὸν βαθυδινήεντα πέρησαν·
Ἔνθ' ἡμεῖς αὐτῷ μέγ' ἐχαίρομεν, οἷον ἔοργε.
7 Πάντων κοίρανός ἐστιν ἐῇ ἀρετῇ τε βίῃ τε
Νωλεμές· ὀφθαλμοῖσι κὴ ἔνδοθεν σκοπάζει·
Οἳ δ' αὐτῷ ἀπίθησαν ἀγηνορίῃσι νόοιο,
Οὐκ ἂν ἀειρόμενοί ποθ' ὑπέρτερον εὐχος ἄειραν.
8 Εἴδ' ἄγεθ', ἡμέτερόν γε θεὸν κυδαίνετε λαοί.
Αἶνον ὃν ἐξαγορεύεθ', ὅπως πευθοίατο πάντες.
9 Ὃς κὴ ἔτ' ἄμμιν ἔδωκε φίλης αἰῶνος ἐπαυρεῖν,
Ψυχάς τε ζώειν, οὐδ' εἴασε ποσὶν ὀλισθεῖν.
10 Ἡμέων γὰρ σὺ, θεὸς, πειρήσαο οἵ περ εἰμέν·
Ὡς ὅτε τ' ἀργύριον δοκιμάζων ἐν πυρὸς αὐγῇ
Τέκτων ἀμφιπονεῖται ἰδὺίῃσι θεραπίδεσσιν,
Ὡς τέ σοι ἔν ἡμέας δοκιμαζέμεναι φίλον ἦε.
11 Εἰς λίνον, ᾧ δ' ἤλωμεν, ἀνήγαγες ἄμμε πάναγρον·
Ἰξυῖ δ' ἡμετέρῃ χαλεπὴν ἐπέθηκας ὀϊζύν.
12 Κρασὶν ἐφ' ἡμετέρῃσιν ἐφίζειν ἄνδρας ἀνῆκας·
Ἀμφότερον, διὰ πῦρ τ' ὀλοὸν, διὰ τ' ὄβριμον ὕδωρ
Ἤομεν, ἐκ δ' ἡμέας ἄγαγες ποτὶ ποίνα χῶρον.
13 Βήσομαι ἐς τεὸν οἶκον, ἵν' ἐξαίτους ἑκατόμβας
Σοὶ ῥέξω· ἅμα κὴ εὐχωλάς μευ ἀποτίσω,
14 Ἃς χείλεσιν ἐμοῖσι πιφαυσκόμην τοι ὑπέσσιν,
Καὶ στόμα μευ ἀγόρευσεν ὀϊζύϊ ἧματι λυγρῷ.
15 Ἱερά τοι ῥέξω, κνίσῃ πόνα μηεία καίων
Ἀρνῶν ἠδ' ἐείφων, ἅμα τε κεινῶν δυέεσσιν·
Ἱρεύσω ἔλικάς τε βόας, κὴ μηκάδας αἶγας.
16 Δεῦτ' ἄρα, κέκλυτε πάντες, ὅσοις φίλος ἐστὶ θεοῖο,
Ὑμμι δ' ἀπαγγελέω, ψυχῇ μευ οἷον ἔρεξεν.
17 Αὐτὸν ἀνὰ στόμ' ἔχων ἐβόησά τε κὴ ἱκέτευσα·
Γλῶσσα δέ μευ μιν ἄειρε, καὶ οἱ μέγα κῦδος ἔδωκεν.
18 Εἴ μοι ἀταθαλίην φρεσὶν αἴσυλά τ' ἔργα μέμηλεν,
Οὔ τι μευ Ἀθάνατος φωνὴν βοόωντος ἀκούσει.
19 Ἀλλά γέ μευ ἔμπης θεὸς ἔκλυεν εὐχομένοιο,
Εὐχομένοιό τ' ὄπα ξυίετο, σεφράσσατο τ' ἐπακουσεν.
20 Τῷ θεὸς αἰνείσθω, ὃς ἀμῆς ἀ νοσφίσατ' ἀυχῆς,
Οὐδ' ἣν μειλιχίην μευ ἀπέτρεπεν, ἀλλ' ἐλέησε.

Ψαλ.

Ψαλ. ξξ'. 67.

1 Ἵλαος ἄμμι γένοιτο Θεὸς, μάλα τ' ὄλβια δοίη,
Μειδιόων τ' ἀγανοῖσι προσώπασιν ἄμμι φαείνοι,
Ἡμέας τ' εἰσορόωτο, καὶ ἵλαος ἄμμι γένοιτο.
2 Ὄφρ' ὁδὸς ἔργα τε σὰ γνωδῇ κατ' ἀπείρονα γαῖαν,
Σόν τε φόως ζωῆκὲς ἐν ἔθνεσι παντοδαποῖσι.
3 Λαοὶ κλειόντων σε, Θεὸς, σόν τ' ἄφθιτον αἶνον·
Λαοί σε ξύμπαντες ἀοιδῇσι κλειόντων.
4 Χαιρόντων λαοὶ, καὶ εὐφροσύνῃσι νόοιο
Πάντες ἀειδόντων· σὺ γὰρ ἐν λαοῖσι δικάζειν
Μέλλεις εὐνομίῃσι, καὶ ἔθνεσιν ἡγεμονεύειν,
Πομπός τέ σφισιν ἔμμεν ὅπῃ χθονὶ πεπλυσοτείχῃ.
5 Λαοὶ κλειόντων σε, Θεὸς, σόν τ' ἄφθιτον αἶνον·
Λαοί σε ξύμπαντες ἀοιδῇσι κλειόντων.
6 Καὶ τότε καρπὸν ἐὸν φύσει ζείδωρος ἄρουρα,
Ἡμῖν δ' αὖτε Θεὸς Θεὸς ἡμέων ὄλβια δώσει.
7 Ὄλβια δώσει ἄμμι Θεὸς, βίοτον μέγ' ἀέξων.
Πάντα δέ μιν δείσει πολυφόρβε πείρατα γαίης.

Ψαλ. ξη'. 68.

1 Ἀνσαίη ὁ Θεὸς, σκιδναίατο δυσμενέοντες,
Οἵ τέ μιν ἐχθαίρουσιν, ἔο προπάροιθε φύγοιεν,
Οἵ μὴ προθέλοι φύγοιεν ὁμῶς, ὁ δ' ὄπαδε διώκοι.
2 Ἠΰτε καπνὸς ὄλωλε λιγυσκιδνάντος ἀήτεω,
Ὣς ἄρα τὸς δὲ λιγυσκεδάσῃς, ἵνα τ' εἶεν ἄφαντοι·
Κηρὸς δ' ὡς κατατήκεῖ ἐπειγόμενος πυρὸς ἁρμῇ,
Ὣς τε Θεῦ προπάροιθεν ὀλοίατο πάμπαν ἀλιτροί·
3 Γηθόσυνοι δ' ἄνδρες, τοῖσιν νόος ὄρθὶ δίκαιος,
Γίνοιντ', ἠδὲ Θεῷ μέγα κεν κεχαρείατο θυμῷ·
Καὶ μάλ' εὐφροσύνῃσιν ἰανθείη σφισιν ἦτορ.
4 Μέλπετε δ' ὕμνοισιν Θεὸν ἄμβροτον, ὄνομα δ' αὐτοῦ
Κλείεῖ ἀοιδῇσιν· κυδαίνετε Παμβασιλῆα,
Ὅς θ' ὑπὲρ ἠρανὸν ἴζει ὀχεύμενος ὥστερ ἐφ' ἵππῳ,
Ἁγλαΐῃσιν αἰνεῖτε, ὅς κλυτὸν οὔνομ' ΙΑΩ·

Τμμιν ἐνὶ φρεσὶ θυμὸς ἔο πεπάρθιθε χαρείη.
5 Ὀρφανικῶν ὁ Θεός τε πατὴρ, χηρέων τ' ἐπαρωγὸς
Εἰνὶ δίκῃσιν ὕπερθεν, ἵν' οἱ ἕδος ἱερὸν ὄζῃ.
6 Δώμαθ' ὑποφορίης τε Θεὸς δέκε οἰόθεν οἵοις,
Ἠδ' οἰκωφελίῃσι, ἵ τε τρέφει ἀγλαὰ τέκνα·
Τοὺς δ', οἵπερ τε πέδῃσι σιδηρείῃσι δέδεντο,
Δεσμῶν ἐξανέλυσε, κὴ εἰρέρε ἔξαγεν αὖθι·
Ἀλλ' οἳ ἀγλιώρες εἰσὶ, κὴ ἐκ ἐθέλουσι πιθέσθαι,
Δίψῃ καρχαλέοι πολυκαγκέα γαῖαν ἔχουσιν.
7 Ὁππότε σῷ λαῷ σὺ, Θεὸς, ὁδὸν ἡγεμόευες,
Καππεδίον δ' ἔστιχες ἐρημαίῃσι διὰ χώρῃς·
8 Τρόμος μὰλ' ἔτρεμε γῆ, ῥέε δ' ὐρανὸς ἄντα Θεοῖο·
Αἰπύ τ' ὄρος Σινᾶιον ἀγακλυτὸν ἔτρεμε αὐτὸ,
Ἄντα Θεοῖο, Θεοῖο ἀμύμονος Ἰσραήλου.
9 Τες ὄμβρε κλῆρόν σευ ἄδλιον, Θεὸς, ἠδὲ μιν ὄμβρῳ
Ζώγρεις ἀπασάῳ, καμάτῳ ἀδδηκότα λυγρῷ.
10 Κεῖθι ἡ σὸς κὴ ὅμιλος ἐνὶ κλισίῃσιν ἔμιμνεν,
Ὡς σὺ, Θεὸς, πτωχοῖσιν ἑτοίμασας ἤπια εἰδὼς,
Σῇ ἀγανοφροσύνῃ, ὅ, τι σφίσιν ἄρκιον εἴη.
11 Τμνον ἀνὰ στόμ' ἔδωκε Θεὸς, χαρίεντά τε μῦθον·
Ἐδὰλ' ἀγγελιστέων πολὺς χορὸς ἦε γυναικῶν.
12 Προτροπάδην φοβέοντο ὑπερμενέες βασιλῆες,
Καὶ φύγαδ' ἐμνώοντο, οἷς τε στρατοὶ ἄασεσθαι ἦσαν·
Αἱ δέ τε δηλύτεραι ἀνδράγρια πολλὰ δάσαντο,
Οἶκοι μίμνουσαι, ἔλαχόν τ' ἀπὸ λαὶδ' αἶσαν.
13 Εἰ κὴ ἀϋσταλέοι, κακὰ εἰμένοι, ἠδ' ἐνὶ τέφρῃ
Αὐχμεῶντες μέσοισιν ἐνὶ πριπόδεσσιν ἔκειθε,
Ὡς πτέρυγες δ' ἔστεφθε πελειάδος, ἀργύρῳ ἶσα
Σπλεύσασι, ξανθῷ πτερὰ δ' αὐτῆς χρυσῷ ἔοικεν.
14 Ὅππα Θεὸς, τῶ τε κρέιττον ἄασσετον, ἐκ ὀφρυόεντος
Ῥῆια διεσκέδασεν βασιλῆας τῆδ' ἐνὶ χώρῃ,
Ἠδ' εἰ κὴ ἄτῃσι κελαινιόωσα πάρος περ,
Λευκὴ ὥστε χιὼν ἔσθ', ἣ Σαλμῶνα παλύει.
15 Ὡς Βασάνοιο ὄρος, τοῖόν τ' ὄρος ὄζῃ Θεοῖο·
Ὡς Βασάνοιο ὄρος πολυδειράδος ὑψηλοῖο.

16 Τίφθ'

16 Τίφθ' ὕτω σκιρτᾶτ', ὄρε ὑψηλὰ τροφόεντα;
Τίπτε τίσον κορυφῆσιν ἀγαλλόμῳ εὐχετάασθε;
Τῦτ' ὄρος ὃν Θεοῖο, ὃ οἱ φίλον ἔπλετο ναίειν,
Ὥπερ ἐν Ἀθανάτος τ' οἰκήσει νωλεμὲς αἰεί.
17 Ἅρματα μυρί τε Θεοῖο ὀπάονες ἠρανίωνες,
Ἀσπετῳ ἀμφιχυθεὶς πυλὺς τρατὸς, εἰκοσάχιλοι,
Ἄγγελοι ὠκυπέτεα μάλα μυρίοι· ἐν δ' ἄρα τοῖσιν,
Ὡς τὸ πάλαι Σιναίῳ ἐν ὄρει παπαλόεντι,
Ἔνθα τ' Ἄναξ ἐφάνη, ὅθι οἱ ἕδος ἱερὸν ὄρτο.
18 Ὑψόσε μυρί τ' ἀνέβης, ἄγαγες δ' ὑπὸ λαῖδα πολλὴν
Δυσμενέων, αὐτός τε, φέρων ἔναρα βροτόεντα·
Πολλά τ' ἐδέξαο δῶρα δεδωσόμεν ἀνθρώποισιν,
Οἳ σέο νικήσαντα, ἰδ' ὃ βέλοντο πυθέσθαι,
Ὄφρα κὴ ἐν τοῖς δεσιν Ἄναξ Θεὸς οἰκία ναίῃ.
19 Αἰνετὸς εἶσιν Ἄναξ, ὃς δ' ἡμέας αἰεν ἐπ' ἦμαρ
Πολλὰ μάλ' ἐθλὰ ἔοργεν· ὁ κὴ Θεὸς ἄμμι φόως τε.
20 Ἡμέων ὃς Θεός ὄρτι, ὁ μὲν Θεὸς ἄπια εἰδὼς,
Ζωγρῆσαί τ' οὗ οἶδε, φίλον τέ οἱ ὄρτι σαῶσαι·
Τῷ δ' ἐν γένασι κεῖται ὁμῶς θανάτοιο τελευτή·
Πολλαὶ γάρ τε πύλαι ἰφθίμυ εἴσ' ἀΐδαο,
Πᾶσαι δ' ὠΐγνυντο Θεοῖο Ἀνακτος ἔκητι.
21 Κακκεφαλιὼ Θεὸς ἕν ἐτήσει δυσμενέοντας·
Σφῆς ὃ κακοξέραφίης ἅπω λήγοντας ἁλιτρὺς
Ἀκρίω κακκορυφιὼ βαλέει μάλα ὧρ κομόωσαν.
22 Ὧδε δ' Ἄναξ πυ ἔειπεν· Ἐμὸν νῦν λαὸν ἀνάξω,
Αὖτε δ' ἀναστρέψω, Βασανίπδος ὡς ἀπὸ γαίης,
Ὡς τ' ἀφ' ἁλὸς πολιῆς, ὅτε βένθεα ποσὶ πέρησαν.
23 Ὄφρα τεὸν βάψῃς πόδα τε βροτῷ αἵματόεντι
Δυσμενέων, γλῶσσάν τε κυνῶν σῶν τῷδε μιήνῃς.
24 Εἶδ θεοβιβῶντος ἴδον, Θεὸς, ἴχνια σῷ ἐνὶ νηῷ·
Ἴχνι' ὁρῶντο Θεῦ ἅμα κὴ Βασιλῆος ἐμοῖο.
25 Πρόσθεν ἀοιδοὶ ἔσαν, κιθαριστὰι δ' ἦλθον ὀπίσω·
Κῦραι δ' ἐν μέσῳ πολυηχέα τύμπανα ἔχυσαι·
26 Ἀνδρῶν εἰν ἀγορῆσι Θεὸν κυδαίνετε πάντες,
Αἰνεῖτ' ὄμμες Ἀνάκτ', Ἰσραήλοιό τε πηγῆς

Ὅσοι ἐκγελῶντες, ἐῆς τ' ἔξεσε γενέθλης.
27 Ἔνθα μὲν ἦν μικρὸς Βενιάμιν ἀρχὸς ἁπάντων,
Ἔνθα δ' ὄρχαμοι ἦσαν Ἰούδεω δυσμολέοντος,
Τῶν ὄ τε πυλὺς ὅμιλος, ἀολλέες οἵ σφιν ἕποντο,
Σὺν δ' Ζαβυλῶν τε καὶ Νεφθαλίμοιο μέδοντες.
28 Σεῦ δ' βίλιν ἵδρυσε Θεός σευ, κάρτος ὀπάζων·
Ἔμπεδον ἄμμι, Θεὸς, δείκνυ, ὅσσ' αὐτὸς ἔρεξας.
29 Εἵνεκα σεῦ νηοῦ φαεινάλεος ἐν Σολύμοισι,
Σοί ποτε δώσουσιν βασιλῆες κάλλιμα δῶρα.
30 Δεινὸν ὀπιπλήσσων σίχας ἀνδρῶν ἐγχεσιμώρων
Δείδιξαι, ταύρων τ' ἀγέλην, πόριάς τ' ἐνὶ δήμῳ·
Ὄφρα δ' ἕκας σοίγε πεσὼν φέρηται ποσὶ τοῖσι
Κέρματά τ' ἀργυρείοιο φέρῃ, καὶ δῶσιν ἄποινα.
Λαοὺς δ' σκέδασον, τρέωσιν ἵν' ἄλλυδις ἄλλῃ,
Τοῖσίν τ' αἰὲν ἔρις τε φίλη, πόλεμοί τε μάχαι τε.
31 Ἔνθα δ' ἐλεύσονται Αἰγυπτόθεν ὄρχαμοι ἀνδρῶν,
Αἰθιόπων δέ τε γαῖα θεῷ τάχα χεῖρας ὀρέξει,
Αἰθιόπων, οἳ πολλοὶ ἔασίν τ' ἔκατοι ἀνδρῶν·
32 Ἔθνεα πάντα Θεοῦ, χῶραι ἅμ' ἀείδετε πᾶσαι,
Ὅσων πτε βασιλῆες ὑπὸ χθονὶ κοιρανέουσιν·
Αἶνόν τ' Ἀθανάτῳ λιγυρῇ ἀναμέλπετ' ἀοιδῇ.
33 Οὐρανῷ ὃς καὶ ἐφίζει ὀχεύμενος ὥσπερ ἐφ' ἵππῳ,
Οὐρανῷ, ὅν τε πάλαι τεχνήσατο· ἔνθα δ' φωνὴν,
Ὑψόθεν ἐκ νεφέων, κρατερὴν ἀνενείκατο φωνήν.
34 Καὶ Θεῷ ἓν δότε κῦδος, ἀναγνόντες τόδε δυμῷ,
Ὡς κράτεϊ σφοδέβηκε, καὶ οἱ σθένος ἐκ ὑπείκτιν·
Ἔξοχ' ἐπ' Ισραήλου ἐὸν μεγαλοσθένος ὦρσεν,
Ἀγλαΐην τ' ἀνέφηνε, καὶ ὃν κράτος ἐν νεφέλῃσι.
35 Δεινὸς μὲν Θεὸς ἐκ τοῖς εἰν ἱεροῖσιν ἔδεσσιν,
Ὅς τ', Ἰσραήλοιο Θεὸς, μέγα κάρτος ὀπάζει
Καὶ μένος ᾧ λαῷ· πὰ καὶ Θεὸς αἰνετὸς ἔσω.

Ψαλ. ξθ'. δη.

1 ΣΕσωσμένῳ ἴληθι Θεός μοι, καί με σάωσον·
Ὕδατα γάρ μοι ἐπῆλθ', ὀλίγου δέ με δυμὸν ἀπηύρα.
2 Λίμνῃ ἐν ἀργαλέῃ ἔχομαι, δίνῃ τε βαθείῃ,

Ἰλυὸς

Ἰλύϊ κ᾽ πηλῷ πεπεδημένος, οὐδέ πη ὄζιν
Ἐστάμεναι, πόσιν μοι ἄσις κέχυτ᾽ ἀμφὶ πόδεσσιν
Δινῶν ὕδωρ βαθύ, καί με κιχήσατο κῦμα ῥόοιο,
Ὅς τέ μ᾽ ὑποδρυχα θῆκε, διέρσεν τ᾽, οἰδματι θύων.
3 Κάμνω δ᾽ ἠθ᾽ ἰάχων τε διαπρύσιόν τε γεγωνώς·
Καί ὀλίγη ἔτ᾽ ἔμοιγε δι᾽ ἔκ φάρυγος ῥέει αὐδή
Καρχαλέης· κάμνω δ᾽ ἐς ἐμὸν Θεὸν ὄμματ᾽ ἀνασχών.
4 Ἧ ῥα με μαψιδίως μάλα μυρίοι ἐχθαίρουσιν,
Οὐδὲ τείχεος τοσσάδε καρήατός εἰσιν ἐμοῖο·
Οἳ τέ με δυσμενέοντες ἀνάπιον, ὕστε δίκηαι,
Δηώσαι μέμασαι, τῶνδε δέν᾽ οὐκ ἀλαπαδνόν·
Τόφρα δ᾽ ἐγὼν ἀπέδωκα τό, τ᾽ ὔπνος ὔποτ᾽ ἀπούρων.
5 Ἦ σύ, Θεὸς, σάφα οἶδ᾽ ἃ χαλιφροσύνην ἔρεξα·
Οὐδ᾽ ἐμὰ κρύβδα σευ ἔς᾽ ἀλιτήματα, ὐδέ σε λήθει.
6 Μή τι καταισχυνθεῖεν, Ἄναξ, ὅς τε σραπάων
Ἴφθιμος Θεός ἐσσι κ᾽ ὄρχαμος, εἵνεκ᾽ ἐμεῖο,
Οἵ σοι ἔέλπονται· μὴ ἐλέγχεα τοῖσι γένοιτο
Λαῷ θ᾽ εἵνεκά μευ, ὃς σεῖο μάλ᾽ ἵμερος αἴρει,
Οἵ σεο δὴ τε σέ δίζον, Θεὸς Ἰσραήλε.
7 Αἴσχεα γάρ σέθεν εἵνεκ᾽ ὀνείδεα πολλά τ᾽ ἀνέτλην·
Ὄμματά μευ ἐκάλυψε κατηφείη τε κ᾽ αἰδώς.
8 Ξεῖνος ἔγωγε τέτυγμαι ἀδελφειοῖσιν ἐμοῖσι,
Μητρὸς ἐμῆς τέκνοισιν ἀνέσιος ἀλλοδαπός τε.
9 Σεῖο τέτηκα πόθῳ, ζῆλος δ᾽ οἷκοιο τεοῖο
Θυμὸν ἐμὸν κατέδει· λώβη δέ τ᾽ ἀτάσθαλος ἀνδρῶν
Οἵ τέ σε λωβήσαντ᾽, ὀπί μοι, κ᾽ ὀνείδεα χεῦτο.
10 Ὁππότ᾽ ἄρα κλαυθμοῖο τεταρπόμενος κραδίηα,
Ἀκμὴν κ᾽ ἄπαστος ἔην, τετιηότι θυμῷ,
Οὐκ ἀέκων· τόδε καί μοι ὀνείδεσαν, ἠδ᾽ ὀνόσαντο.
11 Ἀμφὶ δέ μοι ῥάκος ἔσκε διεικέλιόν τε κακόν τε·
Οἵ δέ με λώβευον, συγερήν τέ με θῆκαν ἀοιδήν.
12 Ἥμενοι εἰνὶ πύλῃσιν ἐμεῦ κάτα πόλλ᾽ ἀγόρευον·
Καί μοι ἐρεμνόωντο ἀναιδέες οἰνοποτῆρες,
(Οἶνος γάρ τ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀείσαι)
Πολλὰ μέ, οὐκ ἐτεὰ ἦ, πότος δέ τε κ᾽ τὰ κέλευεν.

13 Αὐτάρ

13 Αὐτὰρ ἔγωγέ σε λίσσομ', Ἄναξ, μενοεικέϊ ὥρῃ·
Κλῦθι δ' ἐμεῖο, Θεὸς, σὺ γὰ ἔξοχά τ' εἰς ἐλέημων,
Μειλιχίῃ, ἐτεόν με σαωσέμεν ὥσπερ ὑπέστης·
14 Ῥῦσαί μ' ἐξ ἰλύος, ὑπόδρυχα μή με πάθείη·
Ἐξ ἀνδρῶν τε σαωθείμεν, ὅσοι μ' ἐνὶ θυμῷ
Ἐχθαίρουσι, καὶ ἐξ ὑδάτων βαθυδινήεντων.
15 Μηδ' ἐμὲ κῦμα ῥόοιο μέλαν καθύπερθε καλύψαι,
Μηδέ μ' ἀπέρσειε μέλας ποταμὸς βαθυδίνης,
Μηδὲ φάρυγξ μοι ἔνερθε χάνοι δεινοῖο βερέθρου,
Μηδὲ καταδέξειε βαθείης με στόμα λίμνης.
16 Σωσόν με, καί μοι ἄκουσον, Ἄναξ, ἀγαθὴ γὰ ἐπύχθη
Σὴ τ' ἀγανοφροσύνη καὶ ἐυεπὴς ἐρατεινή·
Καδδ' ἔλεον μέγαλόν τε τεὸν καὶ ἀθέσφατον οἶκτον
Στρεφθείς μ' εἰσορόωσο, φίλα φρονέων ἐνὶ θυμῷ.
17 Μηδ' ἀπὸ σῆς θεράποντος ἀποτρέψειας ὀπωπήν·
Ἄτη γάρ μοι ἔπιλθε· σὺ δ' ἐμμαπέως μοι ἄκουσον.
18 Ῥῦσαι ἐμὴν ψυχὴν, καί μιν σόῳ ἐγγύθεν ἐλθών·
Δυσμενέας δ' ἐμοὺς ἐμ' ὀϊζύος ἐξανάλυσον.
19 Λώϊόν μοι σὺ κὴ αἶσχος ἐμὸν, κάκ' ἐλέγχεά τ' ἔγνως·
Σεῦ φρεσὶ πάσηισιδέ τ' ἔασιν, ὅσοι μοι δυσμενέοντες.
20 Αἶχι μοι λοιδὴν τε κατεκλάδα φίλον ἦτορ·
Πένθος δ' εἶχον ἄλαστον ἐνὶ φρεσὶ, δέγμενος αἰεί,
Εἴ πού τε ἐμεῦ οἶκτος ἔλοι, ἀλλ' οὔτις ἔλιω γε·
Εἰ καί τις παραμυθήσαιτ', ἀλλ' οὔτιν' ἐφεῦρον·
21 Ἐδέμεναι δὴ χολὴν μοι ἀδευκέα τ' ἐγγυάλιξαν·
Ὄφρα με δίψα κίχανε, πεῖν τε μοι ὄξος ἔδωκαν.
22 Τοῖσι βεβρὼς τ' εἴη, ἣ σφιν παρέκειτο τράπεζα·
Ὀππόθι δ' εἰρήνην μεγάλιω ᾔετο θυμὸς,
Ἔνθα σφ' ἄισα γένοιτο κακὼ ὀλὴ πήματι κύρσαι·
23 Ἀχλύος ἀλομβήσι σφι μέλαν νέφος ὄσσε καλύψαι,
Μή π δυναίατο πάμπαν ἔτ' ὀφθαλμοῖσιν ὁρᾶσθαι·
Τῶν δέ θ' ὑποσείειν τείρε πλευράς τε καὶ ἰξύν,
Ὡς τροχαλοὶ ὀδυώῃσιν ἀεὶ κύπτωσιν ἔραζε.
24 Δειμαίνω σευ ὀλὴ τοῖσι χόλον θυμαλγέα χεύαις·
Μῆνίς σευ χαλεπὴ νέμεσίς τέ σφιας καταμάρψαι.

25 Οἰκία

25 Οἰκία δ' σφιν ἔρημα γλυσίατο, μηδέ τ' ὀπάων
Ναίων τις μεγάεσσιν ἐνὶ σφετέρησι λίποιτο.
26 Τὸν γὰρ ὀπιζαφελῶς ἐδίωξαν ἀπηνέϊ θυμῷ,
Ὃν σύ γε ἔπληξας· τοῖς δ' ἐκ σέθεν ἀταμψύοισι
Μεῖζον ἔτ' ἄλλο κακὸν, καὶ ἐπ' ἄλγεϊ ἄλγος ἔδηκαν.
27 Τῷ καὶ ἀταθαλίην ἐπ' ἀταθαλίῃφι πίθεσθαι
Δός σφισι· μηδὲ δικαιοσύνης ποτὲ σῆς ὀπίσσω.
28 Ἐκ δὲ ζωόντων πίνακος βίβλοιό-τε φαντῶν
Πάγχυ τ' ἀλειφθεῖεν, καὶ ὀλοίατο· μηδὲ δικαίοις
Ἐγγεγαφθεῖεν ὁμοῦ, μηδέ σφ' ἐναείδμιοι εἶεν.
29 Αὐτὰρ ἐγὼ δειλὸς πτωχός τε καὶ ἀχνύμενος κῆρ·
Σὸν δὲ φόως με σαώσειεν, Θεὸς, ὑψόσ' ἀείρων.
30 Αἰνήσω λιγυρῇ Θεὸν ἱερὸν ἔνομ' ἀοιδῇ·
Καί μιν κυδανέω, μενοεικέα δ' οἱ χάριν εἰδέω.
31 Καὶ τόδ' Ἀνακτί κε μᾶλλον ἄδοι φρεσὶν, ἢ ἐείμικος
Βοῦς νέος, ὃς κεράεσσιν ἀγάλλεται, ὁπλῇσίν τε.
32 Ταῦτα μὲν ὄψονται ἀγανὰ φρεσὶ μηδὲ ἔχοντες,
Καὶ μέγα χαιρήσουσι· καὶ ὔμμιν κεν φίλον ἦτορ
Ζωοῖσιν μετέοι, Θεὸν οἳ δίζεσθ' ἐνὶ θυμῷ.
33 Πτωχῶν γάρ τ' ἐπακούει Ἄναξ· τοὺς δ' οὐκ ἀθεείζει,
Οἵ περ ἑοί εἰσ', εἰ καί ποτ' ἔέρχαται ἐν φυλακῇσιν.
34 Οὐρανὸς αἰνείτω μιν, ἰδὲ χθὼν, ἠδὲ θάλασσα·
Καὶ ὅ, τι πὰρ αὐτῇσιν ἔνι ζώει τε καὶ ἕρπει.
35 Ὅτι Θεὸς φέρων ἐρατιὸν Σιῶνα σαώσει,
Καί κεν Ἰουδαίης ἱερὰς δείμαιτο πόλιας·
Ὡς ἔνθ' οἰκία τ' ἄνδρες ὁμοῦ καὶ κλήματ' ἔχωσιν.
36 Αὐτίκα δὲ κλήσονται ἑῶν γλυκὺ θεραπόντων,
Κλῆρον τήνδε λαχόντες· οἳ ὄνομά θ' ὃν φιλέουσι,
Δώμαλα κἀκ' ἔξουσιν ἐν αὐτῇ ναιετάοντες.

Ψαλ. ο'. 70.

1 Σοὶ φίλον εἶη, Ἄναξ, ἔνθαί με φέρεσθαι θυμῷ·
Σπεῦσ' ἄγε, λίσσομαί σε, Ἄναξ, λάχε δ' ἔρχεό μοι ἐπαρωγός.
2 Λωβητοί τ' εἶεν καὶ ἐλεγχέες, οἵ μοι ὄλεθρον
Ῥάψαν ἀεικελίως, μέμαασί τ' ἐκ θυμὸν ὀλέσσαι·

Αἰσχυ-

Αἰσχυνθεῖεν ὁμῶς, μὴ δὲ τρεφθεῖεν ὀπίσω
Αὖτως, ἀκλειῶς, ὅσοι κακά μοι φρονέουσι.
3 Καί κε παλιμπλαγχθέντες, ἐοικότα μισθὸν ἄροιντο
Σφῆς ἄτης, ἣ ὄλοιντο λιὲ σφέτερ' αἴσχεα πολλά,
Οἵ μοι ἐπευχετόωνται, Αἲ αἲ, ἀναφανδὰ λέγοντες.
4 Σοὶ μέγα χαίροιεν, τερποίατο τε φρένα πάντες,
Οἵ θ' ἱκέται σοι ἔασι, καὶ ῥῖς νόος ὀξὺ θεοῖο·
Οἵ τε τεὸν φιλέουσι φόως, εἴποιεν ὁμαρτῆ,
Αἰὲν ἀειρέσθω κλέος ἄνομά τ' Ἀθανάτοιο.
5 Αὐτὰρ ἐγὼ πτωχὸς καὶ ὀϊζυρός· σὺ δ' ἄμυνε,
Σπεῦσ' ἄγ' ἰών μοι ἄμυνε, Θεός· σύ μοι εἶς ἐπαρωγός,
Ὅς με κακῶν παντὸς καὶ ὀϊζύος ἐξανέλυσας·
Μὴ νῦν δηθύνῃσί μοι, Ἀθάνατ', αὐτίκα δ' ἔλθῃς.

Ψαλ. οα'. ΠΓ.

1 Σοὶ, Ἄνα, θάρσιμός εἰμι, σύ μοι κράτος ἐσσὶ καὶ ἄλκαρ
14 Τίπτε δ', Ἄναξ, ψυχλύ μευ ἀπώθεαι ἠδ' ἀθεείζεις;
Τίπτε δέ μοι ἄπο νόσφι τεὴν ἔκρυφας ὀπωπήν;
15 Τείρομ' ὀϊζυῖ λυγρῇ, ἔχω δ' ἄχε' ἄχεσι θυμῷ·
Κεῖμ' ὀλιγηπελέων, θάνατος δέ μοι ἄγχι παρέστη,
Ἐξ ἧς παιδνὸς ἐὼν σὰ ἢ δείματα θυμὸν ἀπυχθεὶς
Πάσχω, ἐπεὶ σύ-γ' ἄλαστον ἐμοὶ φρεσὶ πάρος ἐνῶρσας.
16 Σός μοι ὀπιζάφελος χόλος ἔχρεε, καί μ' ἐτάραξε·
Δείματά σευ μ' ἐξέσαισεν, ὑπὸ χθονὸς ὤλεσέ τ' ἔμπης.
17 Ἠΰτε χείμαρροι ποταμοὶ περί τ' ἀμφί τ' ὄρευσιν·
Πᾶν δ' ἦμάρ μοι ἐπῆλθον, ὁμῶ δέ με κυκλώσαντο.
18 Τῆλ' ἀπάτερθεν ἔθηκας ἐμεῦ ἑτάρους τε φίλους τε·
Γνωτοί τε πελὶν ἐόντες ἐμοὶ νῦν εἰσιν ἄφαντοι,
Καὶ κλυθμῶνας ἔχουσιν, ἵνα σφέας μηκέθ' ὁρῶμαι.

Ψαλ. πθ'. βγ.

1 Μειλιχίῳ αἰεὶ ἀναμέλψομαι Ἀθανάτοιο
Σιὼ δέ τ' ἀληθείην, ὥς θ' ὅρκια πιστὰ πέλονται,
Πάσῃσιν γενεῇσιν ἀνὰ στόμ' ἔχων ἀγορεύσω.
2 Ἦ γὰρ ἐγὼν ἐφάμην, ἀλαοφροσυνήν ἔλεήν τε
Ἔμπεδον αἰὲν ἔσεσθαι ἐν οὐρανῷ ἀστερόεντι
Σῇ τ' ἀληθείῃ θήσεις ἕδος ἀσφαλὲς αἰεί.
3 Ὅρκια πιστὰ τάμων, ἑξαίτῳ μευ θεράποντι
Σιών τ' ἐθέμην, ἐφάμην τε, ἢ ὤμοσα καρτερὸν ὅρκον,
Ὤμοσα καρτερὸν ὅρκον ἐμῷ θεράποντι Δαβίδῃ.
4 Δώσω τοι παῖδας παίδων μετόπισθεν ἔσεσθαι
Νωλεμὲς, οὐδέ ποτ' ἦν γενεὴ ἄστερμος ὀλεῖται
Νώνυμος· ἱδρύσω ἢ τεὸν θρόνον ἔμπεδον αἰεί.
5 Οὐρανὸς εὐρὺς ὕπερθεν, Ἄναξ, τὰ θαύματ' ἀείσει,
Σὴν δέ τ' ἀληθείην σόων ἀν' ὁμήγυιν ἀγδοῶν.

6 Τίς γὰρ ἐν νεφέεσσιν ἐοικώς, ὃς Ἄνακτι κεν ἰσωθείη;
Ἢ τίς Ἀθανάτων υἱὸς ἐριδμάντων ἐπιβήσεται;
Τῷ ἴσον φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην; 18
7 Ἀνδρῶν εἰν ὀσίων ἀγορῇ θεὸς ἐγκρατέως
Λίην αἰδοῖός τε πέλεται, δεινός τε μέγας τε
Πᾶσι μάλ' ἀνδρώποις, οἳ μὲν περὶ τ' ἀμφί τ' ἔασι. 19
8 Τίς τοι, Ἄναξ θεὸς, ἶσος, ὁμοίης τ' ἔμμορε τιμῆς;
Τίς τοι ἄναξ, κρατερὸς ὢν ἐὼν, δέν θ' ἰσοθείοι,
Ὅς τ' ἀμύμονα πολέμοιο πέλεις, στρατιῇσί τ' ἀνάσσεις;
Ἀμφὶ δ' ἀληθείη σε τὴν κυκλώσατο πάντη, 20
9 Σὺ κρατέεις πόντοιο, καὶ ἄχεϊον οἶδμα θαλάσσης
Ἰθαναέεις, παύεις δέ θ' ὕδωρ, ὅτε κύματ' ὀρώρῃ. 21
10 Αἴγυπτον νέκυν ὥς τε δαϊκταμένον ξυνέαξας
Δοσμενέας δὲ διεσπέδασας κρατερῇφι βίῃφι,
Σῷ τε βραχίονι· τοὶ δ' ἀλέτρεσαν ἄλλυδις ἄλλη. 22
11 Σὸς μὲν τ' ἀρανὸς ἔφυ, τὴν δέ τε γαῖαν μέλαιναν
Σὺ χθονὸς εὐρυχόροιο θεμείλια νέρθεν ἔθηκας,
Σὺ χθόνα τεύξας ὁμῶς, ὅσα τε χθόνα ναιετάουσιν. 23
12 Ἀμφότερον δ' σὺ ποίησας, Βορέην τε Νότον τε.
Σοὶ δ' γανύονται Θαβώρ τε ἐπουρείοιο,
Ἠώς θ' Ἑρμῶν τε ὁμῶς αἰπειὰ κάρηνα. 24
Καί νύ κεν οὔνομα τοῖσι τεὸν μέγα χάρμα γένοιτο.
13 Σοὶ κράτεϊ, δεινεῖ τε κεκασμένῳ ἔφυ βραχίων·
Ἰφθίμη δέ τε χεὶρ, καὶ δεξιὴ ὑψιμέδουσα. 25
14 Εὐνομίη τε δίκη τε τεῦ θρόνου ἔρμα πέλονται·
Μειλιχίη καὶ ἀληθείη σέθεν ἄντα πάρεισιν.
15 Ὄλβιος ἔπλετο λαὸς, ὁποίης ἂν ἀνάκτων,
Ὅς τ' εὖ ἔγνω ἧσιν ἐνὶ φρεσὶ σοὶ ἀλαλάξαι. 26
Κεῖνοι σῆς γε, Ἄναξ, φάος ἀδρήνωσαν ὀπωπῆς,
Σοῖς πίσυνοι ἀγανοῖσι προσώπασι, μειλιχίη τε,
Ἀσπιδέες ζώοντες, ὃ τοι κεχαρισμένοι εἶσι. 27
16 Οἵδε σῷ ἐνόματι φρένα τέρψοντ' ἤματα πάντα,
Αἰεὶ γηθόσυνοι καὶ εὐφερνα θυμὸν ἔχοντες
Εὐδικίῃσι τεῇσι διαμπερὲς ἀγλαϊεσθαι. 28
17 Σεῦ γὰρ ἔκητι μένος ὀφρυόεσσαν ἀέξεται· ὃς δέ τε πάσης

Κῦδος

Κῦδός σφιν ἠ ἄχαλμα βίης ἠ κάρτεός ἐστι·
Σῇ ᾧ φιλοφροσύνῃ καί κεν κέρας ἄμμιν ἀερθῇ.
18 Ἐκ γάρ τ' Ἀθανάτου ἕρυμ' ἀσφαλὲς ἄμμι ἠ ἀσπὶς
Γίνεται· ἐκ δ' Ὁσίου Ἰσραήλοιο μέδοντος,
Ἡμέτερος βασιλεύς, ᾧ τ' αὐτὸς σκῆπτρον ἐδώκεν.
19 Ἦν ᾧ πάλαι ὔπαρ ἐδλὸν, ὃ ἠ τετελεσμένον ἦεν,
Ὁππότε φαινόμενός δ' ὁσίῳ τεῷ ἦλθες ἐναργὴς,
Ὧδέ τέ που εἶπες, (δεῖα δέ μιν ἀμφέχυτ' ὀμφή)
Ἰφθίμῳ ἥρωϊ φόως τε ἠ ἄλκαρ ἔθηκα,
Κυδήνας δ' ὑψοῦ πὺ ἀμύμονα φῶτα καθεῖσα,
Τόνδ' ἐπεὶ ἐξελόμην, παντὸς σεφοβεδυλά τε λαοῦ.
20 Εὗρον ἐμὸν θεράποντα Δαβίδιον, καί μιν ἐλαίῳ
Ἐνδυκέως ἔχεισα, τῷ ἱρῷ μευ λίπ' ἐλαίῳ.
21 Τῷδέ τ' ἐμὴ χεὶρ ἄγχι παρέσσεται αἰὲν ἑτοίμη,
Ῥεῖ ἐπαμυνέμεναι, ὅτε οἱ κακὸν ἐγγύθεν ἔλθῃ·
Τῷ τε βραχίων μευ δώσει κράτος ἠκ ὀπιθεικτόν,
22 Οὔπις ἐ δυσμενέων βίοτον δηλήσετ' ἀπούρας,
Οὐ δάλφ οὐδὲ βίηφι· κακὸν δέ οἱ οὔπις ἐποίσει
Ἀνδρῶν δυσσεβέων, ἠ ἀτάσθαλον ὕβριν ἐχόντων.
23 Πάγχυ δαφρήσω δηΐους, ἕο τ' ἄντα δαμάσσω,
Ὡς οἱ μὲ σεφόβεν φεύγωσ', ὁ δ' ὄπιδε διώκῃ·
Τοῖσί μιν ἐχθαίρουσιν ἀεικέα λοιγὸν ἐφήσω.
24 Τῷ δέ τ' ἀληθείη μευ ὁμῦ ἔλεός τε παρέσται·
Καί νύ κεν οὔνομά μευ κέρας οἱ ἠ κύδος ὀρέλλοι.
25 Θήσω δ' οἱ ἐν χερσὶ μέγα κράτος ἠδὲ θάλασσαν,
Καὶ ἐνὶ δεξιτερῇ ποταμοὺς ἁλιμυρήεντας·
Ὄφρα τε παμβασιλεὺς, σὺρυκρείων τε γένηται
Ἐξ ἀκαλαρρείταο βαθυῤῥόου Ὠκεανοῖο
Ἀσυείκ ποταμοῖο ἐς Εὐφρήταο ῥέεθρα.
26 Ὧδέ τέ μοι ἐρέει. καί μὲ σεφοπτύξεται ἄντην,
Ἄττα, πατὴρ σύ μοι ἐσσι, Θεὸς, πέτρη τε φόως τε·
27 Πρωτότοκόν μευ ἔ θήσω, ἀδελφειῶν ὄχ' ἄριζον·
Δώσω δ' οἱ κρατέειν, πάντων πέρι τ' ἔμμεναι ἄλλων,
Ὅσσοι ἂρ βασιλῆες ὀπὶ χθονὶ κοιρανέοντες.
28 Μειλιχίλιον δέ οἱ αἰὲν ἐμὸν ἔλεόν τε φυλάξω·

Ῥήτζην

Ῥήτρην δ' ἀσφαλέως, ἐμά θ' ὅρκια πρὸς φυλάξω.
29 Ἄλλακτον γενεὴν, ἵνα μή ποτε νώνυμος εἴη,
Θήσω οἱ ἅπαντα, καὶ ὃν θρόνον ἔμπεδον αἰεί,
Νωλεμὲς ὄρφα μένησιν ἅμ' οὐρανῷ ἀστερόεντι.
30 Ἢν δέ τε παῖδες ἐοὶ θεσμόν μου ἠδὲ θέμιστας
Καλλείπωσιν, ἐμῶν τε παρεκβαίνωσι δικάων·
31 Ἢν δέ τ' ἀταθαλίῃσι τὰ θέσφατά μου ἀλίτωνται,
Μηδ' ἐθέλωσιν ἐμῇσιν ἐφημοσύῃσι πιθέσθαι·
32 Ῥάβδῳ σφέας, πληγῇσί τ' ἀειπελίῃσι δαμάσω,
Ἀτίω πινύμῳ σφετέρην, καὶ ἀέτλια ἔργα·
Καὶ ἱμάσῳ μάστιξι, κακῶν ἕνεχ' ὅσσα ἔρεξαν,
33 Ἀλλά γε μειλιχίην ἔλεόν τέ μου οὐκ ἀλιώσω,
Οὔτ' ὀλέσω, ὃν φρίν οἱ ἀοσσὰς ἐξετέλεσσα·
Ὅρκια πρὸς τὰ μιὼν, ἃ ψεύσομαι οὔτ' ἀπατήσω·
34 Ῥήτρης ἧ μήμων ἔσομαι, καὶ συνθεσιάων,
Οὔτοι ἀφραίνων· ἐπεὶ ἃ παλινάγρετον αὖδης,
Οὐδ' ἀτελεύτητόν γ' ἔπος ἔσσεται, ὅ, τι περ εἶπον,
Ἔρξω δ' ὅ, τι νύ μοι ποτ' ἀμείψατο ἔρκος ὀδόντων.
35 Ὤμοσ' ἅπαξ ὅσίην μου, ὅ μοι ὄρκος μέγας ὄφλει,
Μήποτε Δαυΐδῃ ψεύσεσθέμεν, ὅρκια δ' αἰεὶ
Πρὸς φυλαξέμεναι, τελέσειν τε οἱ ἄσσα ἐπέσπεν.
36 Οὐδέ ποθ' ἅσπερμον τέκος οἱ νώνυμνον ὀλεῖ·
Ἄλλακτον δ' αὐτοῦ γένος ἔσσεται αἰὲν ὀπίσσω,
Καὶ θρόνος οἱ παρ' ἐμοὶ γε ἀμήμερὲς, ἠέλιος ὥς·
37 Νωλεμέως ἔσσεται, μενέει δέ τε ὥς σελήνη,
Μάρτυρος ἠύτε πιστὸς ἐν οὐρανῷ ἀστερόεντι.
38 Ἀλλά γε σὺ Χρειὸν σὸν ἀπώσαο τηλόθι μᾶλλον,
Ὅς τ' ἀπὸ θυμῷ σοι, καὶ οἱ ἀσπερχὲς κεχόλωσο.
39 Συνθεσίην ἀλίωσας, ἰὸν ὅρκια σῷ θεράποντος·
Καδδ' οἱ στέμμα βαλὼν κεφαλῆς κονίῃσι μίηνας.
40 Πάντα δ' ἁ ἔρκε' ἀμάλδυνας, καὶ τείχεα μακρά·
Κρόσσας μὲν πύργων ἔρυσας, καὶ ἔρειψας ἐπάλξεις.
41 Πᾶσι παρερχομένοισιν ἕλωρ καὶ κύρμα τέτυκται.
Αἰδώς τε λοιδή τε περικτιόνεσσιν ἑοῖσι.
42 Δηΐων δεξιτερὴν ἠδὲ κραῖος ὑψόσ' ἄειρας·

Δυσμενέας

Δυσμενέας δ' οἳ πάντας ἐὐφρεσυνήσιν ἴηνας.
43 Καί οἱ ἀνέγναμψας ξίφεϊ μεγάλοιο ἀκωκήν,
Οὐδ' οἱ κῦδος ἔδωκας ἐν αὐνῇ δἰοτῆτι,
Οὐδέ τι κραμμογίην, μελεὴ δέ οἱ ἄορϊ ὁρμή.
44 Παῦσάς μιν τιμῆς τε καὶ ἀγλαΐης ἐρατεινῆς,
Σιφλώσας· καδ δὲ θρόνον ὃν βέβληκας ἔραζε.
45 Ὤκα δ' οἱ ἥβης ἄνδρϊ ἀπώλεσας, αἶψα δὲ γῆρας
Πεῖν ὤρη μιν ἔχεν· λώβη δέ μιν ἀμφεκάλυψας.
46 Ἀλλὰ τεὴν τέο μέχεις ἐμεῦ ἄπο πάμπαν ὀπωπήν,
Ἀθάνατε, κρύψεις; λήσεις δέ με νωλεμὲς αἰεί;
Ἦ σ' ἄμοτον χόλος αἱρήσει, δριμεῖά τε μῆνις,
Καιομένη, ὡσεί τε πυρὸς μένος αἰθομένοιο;
47 Μνῆσαι ἐμεῖο, ὡς ἀβληχρός τ' εἰμὶ ὠκύμορός τε,
Ὡς ὀλίγος βίος ὅστις, μνωομάδης τέ μοι αἰών·
Τῶν σὺ μάλ' ἐν θυμῷ μιμνήσκεο· πῆπε δὲ πάντων
Μάψ αὔτως ποίησας ὅτι χθονὶ φῦλ' ἀνθρώπων;
48 Τίς πτε ἀνὴρ ζώει, ὃς ὄψεται ἠελίοιο,
Ὅς θάνατόν τε μόρον τ' ὄκ ὄψεται ὀφθαλμοῖσι,
Κῆρα φυγών, ψυχὴν δ' ἣν ῥύσεται ἐξ ἀΐδαο;
49 Πῆ σεν, Ἄναξ, ἔλεός τε φιλοφροσυνή τε παλαιή,
Πίστις, ἣν Δαβίδῃ ὑπέσχεο ὅρκον ὀμόσσας;
50 Μνῆσαι, Ἄναξ, λώβης τε καὶ αἰδοῦς σῶν θεραπόντων,
Φράζεό θ', ὡς μοι θυμὸς ἐνὶ στήθεσσιν ἐμοῖσι
Πολλῶν τε κρατερῶν τε φέρει κεὐ ὀνείδεα λαῶν·
51 Οἷοι δυσμενέες σεν λωβητῆρες ἔασιν·
Οἷον ὄνειδος, Ἄναξ, ὡς αἴχεα πολλά τ' ἔχευαν,
Ὡς θυμαλγὲ ἐλεγχείην, Χριστοῦ τεοῖο
Ἴχνεσιν ἠδὲ πόδεσσιν ἐλεγχείην ἀνέδηκαν.
52 Νωλεμέως αἰνείδω Ἄναξ· ὦδ', ὦδε γένοιτο.

Ψαλ. ξ'. 90.

1 Ἦρα σύ γ' εἴλαρ, Ἄναξ, ἀλεωρή θ', ἣ σόοι εἰμέν,
Πάσῃσιν γενεῇσι ἀμφιπερὲς ἔμμι τέτυξαι.
2 Πείν ἢ οὔρεα μακρὰ χάος τεφροῦσθε τεκέσθαι,
Ἠέ σε τεκτήνῃσι καμεῖν χθονὶ πείρατα γαίης,

Καὶ

Καὶ χθόνα πυλυβότειραν ἔδ⟨ω⟩ μερόπων ἀνθρώπων,
Αἰὲν ἀπ' ἀρχῆθεν Θεὸς ἔπλετο σὺ πρόπαρ⟨οι⟩θεν,
Ἔπλετο σὺ πρόπαρ⟨οι⟩θε, καὶ ἔσεται αἰὲν ὀπίσω.
3 Ἐς πότμον καταγεις δνιλὸν βροτὸν, ἔς τε κονίην·
Εἶπες δὲ, Στρέψατε παλιμπετὲς ἔθνεα φωτῶν,
Κεῖσ' ὅθεν ἐκγεγάατε, καὶ αὖθις γαῖα γένοισθε.
4 Καὶ γὰ ἔναντα σέθεν, χθιζὸν ὡς ἡμέρη οἴη,
Ὅππα παρώχηκεν, φυλακὴ δ' ὡς νυκτὸς ἀμολγῷ
Ῥεῖα παρερχομένη, τῶν χίλιοί εἰσ' ἐγιαυτοί.
5 Τοὺς δ' ἀπόερσας ὁμῷ ποταμῷ πλήθοντι ἐοικὼς
Χειμάῤῥῳ· οἱ δ' ὧκα παρήλυθον ἠύτ' ὄνειρ⟨ος⟩
Πρωῒ παροιχόμενος, πτίν δ' ὡς ἀνθεμόεσσα·
6 Ἣ τε πρωῒ τέθηλε, καὶ ἀλλοίωσα πέρυσιν,
Ἀλλὰ τάχ' ἐξετάμη ποτὶ ἕσπερα, καὶ ἐμαράνθη.
7 Καὶ γὰ σεῦ κοτέοντ⟨ος⟩ ἀπολλύμεθ', ἄμμε τ' ἀνίη
Τάρβ⟨ος⟩ τε φρένας εἶλεν, ὅτ' ἀσπερχὲς μενεαίνεις.
8 Ἡμέτερ' αἴσυλα ἔργα σέο πρόπαρ⟨οι⟩θεν ἔθηκας·
Καὶ ἀλιτήματα κρυπτὰ τέης ῥ' ὑφ⟨ε⟩γγ⟨ος⟩ ὀπωπῆς.
9 Ῥίμφα γὰ ἡμετέρη ἀλὰ σὸν χόλον οἴχεται αἰών·
Φεύγει δ' ἤματα πάντα κυλινδομένων λυκαβάντων,
Τῶν δὲ τάχα φθιμένων βί⟨ος⟩ ἄνεται, ὥς τε νόημα.
10 Ἔστι ἐτέων δεκάδες πέρας ἡμετέροιο βίοιο,
Εἰ δὲ κὴ ὀγδώκοντα περιπλομένους ἐνιαυτοὺς
Εἴδομεν ἠνορέη, (πατέρες δέ τε ἄνερες εἶδον)
Ἀλλ' ἔν γε πόνοντες ὀϊζύομεν κακὰ πολλὰ,
Ἐκ τ' ὀλιγοπελίης, ὡρίν γήρα⟨ος⟩ ἔδον ἐκέασεν,
Ζώομεν ἀχνύμενοι, καμάτῳ ἀδινοῖτες αἰνῷ·
Ὡς ἄφαρ ἔκ τ' αἰῶν ἐτάμη, καὶ ἀφιπτάμεθ' ἡμεῖς.
11 Τίς ξ' ἔγνω ὅσον χρατ⟨ος⟩ ἔπλετο σοῖο χόλοιο;
Οἷα σε αἴδετ' ἀνὴρ, ὥς οἱ σὺν εἴσατο μῆνις.
12 Ἦματ' ἀριθμῆσαι βιότου ὡς ἄμμε δίδασκε,
Καρδίῃ ὄφρ' εἰδῶμεν ὀπιθρησμοσύας ἀνελέσθαι.
13 Στρέψαν, Ἄναξ· τέο μέχει; σὺ δ' ἵλαον ἔνδεο θυμόν·
Μηκέτι νῦν χαλέπαινε τόσον δμῳῆσι τεοῖσι.
14 Πρωῒ μάλ' οἰκ⟨ος⟩ ἔλοι σε, ἀείδωμέν τε καὶ ἄμμε γλύκιον

Σί

Σῆς ἀγανοφροσύνης· καί κεν τότε γηθήσαιμεν
Θυμῷ ναλεμέως, κεχαρῴμεθά τ' ἤματα πάντα.
15 Ἐφλὰ δίδου πάλιν ἄμμι, γένοιτό τε ἴσ ὡρ ὀπάων
Ὅλβῳ, ἀτὰρ νῦν δηθὰ κακοῖς ἐχόμεθά γε πολλοῖς·
Εὔφρηνον δ' ἡμέας, ὅσαι ἡμέραι ἐκ σέθεν ἦσαν
Πρώην λευγαλέαι, ὅτε κήδεά τ' ἄμμιν ἐφῆκας·
Ἐφλὸν δ' ἀντὶ κακοῖο δίδες χαείεσαν ἀμοιβὴν
Νῶν τελέσης, ἐτέων ἀνθ', οἷς ἀνεδέγμεθ ὀΐζω.
16 Ἔργον ἀείζηλον τελέθοι δμῳῆσι τεοῖσιν,
Αὐτοῖς τ' ἔργον σεῦ, κῦδός τε σφοῖσι τέκεσσιν·
17 Αἴγλη δ' ἄμμι φάοι τερψίμβροτος Ἀθανάτοισι,
Ἡμετέρῳο Θεοῖο· σὺ δ' ἵλαος ἄμμι γένοιο,
Χειρῶν τ' ἔργον ἄεξ' ἰθυνέ τε ἡμετεράων,
Χειρῶν ἔργον ἄεξ' ἰθυνέ τε ἡμετεράων.

Ψαλ. ϛα'. 91.

1 Ἐν κευθμῶνι Θεῦ ὃς ὑπερτάτῳ οἰκία ναίει,
Μιμνάζει μάλ' ἔκηλος ὑπὸ σκιῇ Ἀθανάτοιο,
(Ὅς πάντων κρατέει, ἐπεί οἱ δένος ἐκ ὀπιπτόν)
Ἀτρέμας ἔνθ' εὕδων, ὅθ' ὅπη σκέπας ὄρνι κακοῖο.
2 Θαρσήσας ἐρέω, Θεὸς ἔπλετό μοι ἀλεωρὴ,
Ἄλκαρ ἐμὸν, μέγα θ ἔρμα, Θεός τέ μιν, ᾧ κε πεποίθω.
3 Ἦ νύ κέ σε ῥύσαιτο ὑπ' ἐκ παγίδος σονοέσσης
Ἰξευτέω, καί σοι ἀπ' ἀεικέα λοιγὸν ἀμύναι.
4 Ἃ πτερά σοι σκέπας ἔσαι, ὅ, τε σκιῇ ἀμφικαλύψει,
Ἀσκηθὴς τ' ἔσεαι, πίσυνος πτερύγεσσιν ἔῃσι·
Τῦ δέ τ' ἀληθείη σάκεϊ ὣς θάρσων ἔσεαι,
Ὡς σάκεϊ σθαρῷ, ὡς σαωίδι τ' ὀμφαλόεσσῃ.
5 Οὔ σοι νυκτιεινὰ φρεσὶ δείματα τάρβος ἐνόρσει·
Οὐδέ τι πικρὸς ὀϊστὸς, ὅ, τ' ἔνθα κῆ ἔνθα ποτᾶται
Ἡμάτιος, θάνατόν τε φέρων κῆ κῆρα μέλαιναν.
6 Οὐ κακὴ ἴς λοιμοῖο, κῆ ἠερόφοιτις ἐεννὺς,
Ἥ τε κρυφηδὸν ἀλᾶται ἀδ' ευκέα νῆσον ἰεῖσα·
Οὐ κὴς ἀλομβύη, ἣ κῆ μέσῳ ἤματι θύει
Ἀμφαδίην μάρψασα, κῆ ἐν φάει ἄνδρας ὄλεσσε.

7 Χίλιοι ἐγγύθι τοι ὥς τ' ἀμφί τέ σ' αἰπὺ ὄλεθρον
Λευγαλέως ἀπολέσθαι ἐπήτειμοι ἔνθα κὴ ἔνθα·
Μυρίοι, ὅσσά τε φύλλα κὴ ἄνθεα γίγνεται ὥρη·
Πάντες ἐπασύτεροι ὀπὶ δεξιὰ σοὶ πεσέονται·
Ἀλλὰ σύ γ' ἀσκηθὴς κὴ ἄνοσος τῶνδε πεσόντων
Στήσεαι ἐν τοσσύτῳ ἀπολυμένων περ ὁμίλῳ,
Οὐδέ τοι ἀσσοτέρω κακὸν ἔσσεται, οὐδ' ὀλίγον περ
Οὔποτ' ὀπιγρέψει χρόα σεῦ θανατηφόρος ἰός.
8 Ἀλλὰ σύγ' ὀφθαλμοῖσιν ἐπόψεαι, ἠδὲ νοήσεις,
Οἷον χέτλιοι ἄνδρες ἐοικότα μισθὸν ἄρουτο,
Σφῆσί τ' ἀταθαλίῃσιν ἀεικέα πότμον ἐπέσπον.
9 Ὅτι σοι ἐλπωρὴν ἱερὸν μένος Ἀθανάτοιο
Καὶ κράτος ἔμμεν' ἔφασθαι Θεὸν δέ τε ὑψιμέδοντα
Ἄλκαρ σοι πύργον τ' εἰλάρ τ' ἀξέμεν ἐσθλὸν ἔθηκας.
10 Οὔτέ τι πῆμα κακοῖό τοι ἔσσεται, οὔτέ τις ἄτη,
Οὔτέ τις ἦν λοιμὸς φθισίμβροτος, οὔτέ τις ἄλλη
Νόσος ὀπὶ συγερὴ χεδὸν ἵξεται ὀππόθι ναίεις.
11 Ἄγγελοι οὐρανίωνες (ὅ γὸ Θεὸς ὧδ' ὀπιτέλλει,
Ἐν πάσῃσιν ὁδοῖσι παεισαμένοις σε φυλάσσειν)
12 Χερσ' ὑποβρεῖσθόντές σοι ἀμωὼτορες αἰὲν ἔσσονται
Ὀππόθι κεν βαίης· ἵνα μήποτε πήματι κύρσῃς,
Μηδὲ πόδα βλάψῃς, κόψῃς τε, λίθοιό τ' ἐπαύρῃς.
13 Τῷ μάλα θαρσήσεις, κὴ λὰξ ἐν θήρεσι βαίνων,
Σμερδαλέῳ τε λέοντι κὴ ἀσπίδι φοινικέσσῃ·
Καδδὲ νέον γε λέοντα δράκοντά τε ποσσὶ πατήσεις·
14 Οὕνεκά οἱ φίλος εἰμί, πίει δέ με κηρόθι μᾶλλον,
Ἔξοχα, τῷ κὴ ἐγὼ μιν ῥύσομαι ἠδὲ σαώσω·
Ἔρκος δ' ἔσσομαι αὐτῷ, ὅτ' οὔνομά μευ σάφα οἶδε.
15 Λισσόμενός με βοήσει, ἐγὼ δ' ἐπακούσομαι αὐτός·
Καί οἱ ὁμαρτήσω, παρά τ' ἔσσομαι ἤματι λυγρῷ,
Περόφρων, κήδ μιν ἀτέρπω ὀϊζύος ἐξαναλύσω,
Ῥύσομαι ἔκ τε κακοῖο, καὶ οἱ μέγα κῦδος ὀρέξω.
16 Ἀλλὰ καί οἱ δώσω δηθὰ ζωοῖσι μετεῖναι,
Ὄφρα τ' ἄδην αἰῶνος ἔχῃ μακρῆς τε φίλης τε,
Αἰεὶ κὴ σός ἧσι· φόως δέ μευ οἱ ἀναδείξω.

Ψαλ.

Ψαλ. ϛ'. 92.

1. Ἀθάνα', ἦ καλόν σε κλείειν, ἠ σὸν ἀείδειν
Αἶνον, ἠ κλυτὸν εὔνομ', Ἄναξ, ὔπατε κρειόντων·
2 Σὴν ἀγανοφροσύνην ἅμα τ' ἠοῖ φαινομένηφι,
Ἠδέ τ' ἀληθείην ἀγγέλλειν νυκτὸς ἀμολγῷ.
3 Ὀρχάνῳ ὑμνεύειν δεκαχόρδῳ αἰολοφώνῳ,
Μολπῆς τ' ἐξάρχειν, ἠ ναβλίῳ ἠχήεντι,
Καὶ καλὸν κιθαριζέμμεναι φόρμιγγι λιγείῃ·
4 Οὕνεκ' ἐὐφροσύνησιν, Ἄναξ, μοι θυμὸν ἴηνας.
Οἷον ἔεργας· ἐγὼ δ' μὴ φρεσὶν ἀγλαΐῃμι,
Χαιρήσω τ' ἔργοισιν, ἃ χερσὶ τεῇσιν ἔρεξας.
5 Ὡς μεγάλ' ἠδ' ἔκπαγλά σευ, Ἄθανατ, ἔργα πέλονται,
Ὡς πολυβενθέα τ' εἰσὶ τεὰ μελεδήματα θυμῷ.
6 Νήπιος ἠ τόδε οἶδε, ἠ οὐκ ἐνόησε χαλίφρων·
7 Ὡς ὀλίγον περ ἀλεῖται ἀνέδραμον, ἠΰτε χόρτος,
Τηλεθόωσι δὲ πάντες ἀτάσθαλα μηχανόωντες,
Ὄφρα κεν ἐσχυ κακῶς ἀπολοίατο νωλεμὲς αἰεί.
8 Ἀλλὰ σύγ' αἰὲν, Ἄναξ, πανυπέρτατος ἤματα πάντα.
9 Δυσμενέες γάρ σοι ἠ ἀνάρσιοι οἵπερ ἔασι,
Δυσμενέες σοὶ ὀλεῦνται, Ἄναξ· πᾶς δ' ἄλλυδις ἄλλη
Τρέσσουσιν πάντες, τοῖσιν φίλον αἴσυλα ῥέζειν.
10 Αὐτὰρ ἐμὸν γε κέρας, κέρας ἠΰτε μονοκέρωτος,
Ὑψόσ' ἀειράμενος μοι ὑπέρτερον εὐχος ἔδωκας·
Καί κεν ἀλειφοίμαν χλωρῷ ποτε ἠ λίπ' ἐλαίῳ.
11 Δυσμενέας δὲ παθόντας ὅ μοι φίλον ἔπλετο θυμῷ
Ὄψομαι ὀφθαλμοῖσι· ἠ οὔασι πότμον ἀλειτέων
Πεύσομαι, οἳ ἐπ' ἔμαι γε κακὰ φρονέοντες ὄρουσαν.
12 Ἀνθήσει ὁ δίκαιος ἀνὴρ φοίνικι ἐοικὼς
Καλῇ, ἀεξόμενος κέδρῳ ὡς μάλα τηλεθόωσα,
Βλωθρὴ, ἣ βάσησιν ἐνὶ Λιβάνοιο πεφύκει,
Ἥ τε θεὸς ἐρανὸν εὐρὺν ἶει τανυήκεας ὄζους.
13 Οἳ πεφυτευμένοι εἰσὶν ἐν οἴκῳ Ἀθανάτοιο,
Καί κεν τηλεθόωσιν ἐν αὐλῇσιν Θεοῦ ἀμοῦ
14 Οἴσουσιν δ' ἔτι καρπὸν ἐν ἄκρῳ γήραος οὐδῷ·

Ψαλ.

Καὶ λιπαροὶ, θαλεροί τ' ἔπ. ϗ πολὺ μᾶλλον ἔσονται.
15 Ἀνέρες ὄφρ' εἰδῶσιν, Ἄναξ ὅτι δίκαιος·
Ἄλκαρ ἐμὸν, πῷ δ' ὄπις ἀταθαλίη ἔνι πάμπαν.

Ψαλ. ϟγ'. 93

1 Ἀθάνατος βασιλεύει, Ἄναξ, ϗ ὑπέρτατός ὄζει·
Κῦδός τ', ἀγλαΐην τ' ὄπειμψός, εἱμψός ἀλκίμῳ
Ζώσατο· γαῖα δ' ἄρηρε, ϗ οὔποτε κεν τρομέοιτο.
2 Καὶ πάλαι ἐσήεικλο τεὸς θρόνος ἔμπεδον αἰεί·
Αὐτός τ' αἰὲν ἔπεσσι, σεῦ πασάων γλυεάων.
3 Δεινὸν, Ἄναξ, βρέμεται ποταμῶν ἀλεγεινὰ ῥέεθρα·
Ἠχλὺ θεσπεσίην ποταμοὶ κελάδοντες ἰεῖσι·
Ῥοχθεῖ μὲ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο,
Ὕψι δὲ κορθύεται, κορυφῶτά τ' ἄσπετον ὕδωρ.
4 Ὕψι δ' Ἄναξ κρείσσων πολλῶν ὑδάτων ὀρμαγδοῦ·
Εἰ ϗ κύματα μακρὰ πολυφλοίσβοιο θαλάσσης
Δεινὸν μορμύρει, πολλὸν δ' ὅδε κάρτεϊ νικᾷ.
5 Θέσφατά σευ μάλα πιστὰ πέλει· σεῦ, Ἀθάνατ', οἶκος
Κόσμος ἀεὶ ὅσιος, ϗ ἀειθρεπὲς ἔπλετο κάλλος.

Ψαλ. ϟδ'. 94.

1 Ὄρσευ, Ἄναξ ὁ Θεὸς, ὃς πάρ πίσις ὄζεν ὄπις τε,
(Ἦ τ' ὀπίσω πάρ ἴσσαι, κίχε βροτὸν, ὅς κεν ἁμάρτῃ)
Οὗ πίσις ὄζεν ὄπις τε, Θεὸς, δεῦρ' ἄμμι φάεινε.
2 Ὄρσεο νυῦ, πάσης ὅς τε χθονὸς ἔοσι δικαστὴς,
Κείνων ἔθνεα πάντα· ϗ ἐς θρόνον ὑψόσ' ἀερθεὶς
Τοῖσιν ὑπερφιάλοισιν ἐοικότα μισθὸν ὄπαζε.
3 Ἕως πότ' ἀλεῖται, Ἄναξ, ϗ ἀτάθαλοι ἄνερες αὖτως,
Ἕως πότε δυσερέες ϗ ἀπάθαλοι ἀγλαϊεῦνται;
Ἥπτε ὑπὲρ μοῖραν κενεαυχέες αἰὲν ἔσονται;
4 Ἕως πότ' ἀγνωσίῃ ἔπια στερφ' ἐκβαλέεσιν
Ὑψαγόραι; τεὸ μέλλεις ὅσοι κακὰ μηχανόωνται,
Μὰψ ἔπι τολμήεσσιν ὑπέρβιον εὐχετάασθαι;
5 Λαὸν σὸν ξαίουσιν, Ἄναξ, πρύχουσί τε κλῆρον.
6 Χήρας τε, ξείνους τ' ὀλέκουσιν ἀπηνεῖ θυμῷ·

Πτωσί

Παισί τ' ἐπ' ὀρφανικοῖσι φόνον καὶ κῆρα φέρουσιν.
7 Εἶπον δ', Ἀθάνατοι τῦτ' ἐκ ἴδεν ὡς ἐτέτυκτο·
Οὔτ' Ἰακωβιαδέων Θεὸς ἔγνω, οὔτ' ἐνόησεν.
8 Ἀλλὰ νοεῖτε καὶ ὔμμες ὅσοι φρένας ἠλεοί ἐστε
Ἐν λαῷ· πότε ποτὲ ἔσεσθ', ἀπερώλιοι αὖτως;
9 Ὃς μυὸν τ' ἦας ἔτευξεν, ὃς δ' ἄμμορος ἔασετ' ἀκουῆς;
Ὅς τε καὶ ὀφθαλμὸν τεκμήνατο, ἐκ ἂν ἴδοιτο;
10 Ἔθνεα δ' ὃς μάστιγι δαμᾷ, ὃ πόσεται ἀλιτρούς;
Ὅς τ' ἄνδρας πυνθάνεσθαι καὶ μήδεα πυκνὰ διδάσκει.
11 Ἀνδρομέης εὖ οἶδεν Ἄναξ μελεδήματα θυμοῦ,
Ὡς μάλα κεναὶ, καὶ ὡς ἀνεμώλιοί εἰσι μενοιναί.
12 Τεὶς μάκαρ ὅτος ἀνὴρ καὶ τετράκις, Ἀθάνατε, ὄζιν,
Ὃν τε σὺ παιδεύμενος τεῦ ἐκ θεσμοῖο διδάσκεις.
13 Ὄφρα μιν οὔκηλον θείης ἐν ὀϊζύος ὥρῃ,
Μή τι πάθῃ κακὸν, εἰσόκ' ἀλείτῃ βόθρος ὀρυχθῇ.
14 Οὐ γὰρ Ἄναξ ὃν λαὸν ἀπώσεται, οὐδὲ μεθήσει,
Οὐδέ τι καλλείψας ὃν κλῆρον ἔρημον ἐάσει.
15 Ἐνθ' αὖτ' εὐνομίῃσι δίκη κ' ἰθεῖα γένοιτο·
Τῷ τε μάλ' οἱ ἕψονται, ὅσοι φρένας ἄρτιοί εἰσι.
16 Τίς κακοεργοῖσίν μοι ἐπ' ἀνδρώποισιν ὀρθώσει;
Τίς νύ κεν ἀντίον ἔστη, ἐμεῦ ἕνεκ', ἀλιτέων;
17 Εἰ μὴ Ἄναξ μοι ἀρωγὸς ἔην, ὀλίγου κε νεκύεσσιν
Ὡμίλεον, ὀλίγῳ δέ τ' ἔβην δόμον ἀϊδος εἴσω.
18 Εἴποτ' ὀλισθαίνειν ἐφάμην ποδί, καὶ πεσέεσθαι
Ὠΐθεον, ἔλεός σευ, Ἄναξ, ἐμοὶ ἔρμα τέτυκται.
19 Ὡς πυκιναὶ μελεδῶναι ἐμοὶ ἔσαν ἀμφ' ἀδίνων κῆρ
Ὀξεῖαι, τεά μοι φιλαμύνια θυμὸν ἔτερπεν.
20 Ἦ σύγ' ἀλιτροῖσι σφῷ ἐν θρόνῳ ἠδὲ δοώκῳ
Μίξεαι, οἳ θεσμῷ τε βίην, ὕβριν τε φύτευσαν;
21 Ἰλαδὸν εἰς ἀγορὴν συνίασιν ἐπ' ἀνδρὶ δικαίῳ·
Ὃν τ' ἀπὸ θυμὸν ὄλεσσαν, ἀναίτιον αἵματά τε χεῦαν,
Καδδ' αὐτῷ δικάσαντες ἀμύμονα φῶτα φόνδυσαν.
22 Ἀθάνατος δέ μέγ' ἔρμα, κακῶν τέ μοι ἔς' ἀλεωρή,
Καὶ πέτρη αἰπεῖα Θεὸς μοι, ἣ τε πέποιθα.
23 Ὃς κακοεργίης σφιν ἐοικότα μισθὸν ὀρέξει,

Αὐτός τε σφετέρησιν ἀταθαλίῃσιν ὀλέσσει·
Αὐτὰρ Ἀθανάτοιο Θεοῦ ἡμέων πάμπαν ὀλέσσει.

Ψαλ. ξε'. 95.

1 Δεῦτ' ἄγετ', Ἀθανάτῳ ἐπαλλώμεθα χαίροντες·
Τῷ τ' ἀλαλάξωμεν, κράτος ὃς πέλει ἄμμι φόως τε.
2 Καὶ μὴν ἐπευφήσωμεν ἐὴν φθάνοντες ὀπωπήν·
Τῷ τ' ἀλαλάξαντες γλυκερῇ τερπώμεθ' ἀοιδῇ.
3 Ὄφρα μέγας Θεὸς ἐσθ' ἱερὸν μένος Ἀθανάτοιο,
Καὶ βασιλεὺς μέγας, ὅς τε θεῶν ὕπερ ὄχθιν ἁπάντων.
4 Τοὔνεκ' ἐν χείρεσι μυχοὶ, καὶ νείατα κεύθεα γαίης,
Τοὔνεκ' εἰσὶν κορυφαί τ' ὀρέων καὶ πρώονες ἄκροι.
5 Τοὔνεκα θάλασσα πέπυκται, ἣν γὰρ τεχνήσατο καὶ πύ·
Ἀλλά γε καὶ πρηφερὴν τεκμήναντο χερσὶν ἧσιν.
6 Δεῦτ' ἄγετ' ἂν ἱκέται ἀζώμεθα Παμβασιλῆα
Προπροκυλινδόμενοι· καὶ προπαιπώμεν Ἄνακτι,
Ἡμέας ὅσπερ ἔπευξε, πάρος καὶ μηδὲν ἐόντας.
7 Αὐτὸς γὰρ Θεός ἐσθ' ἡμέων, ἡμεῖς δέ τε λαὸς
Ὃν τρέφει ἐνδυκέως, οἷσιν πελόμεσθα δὲ ποῦσι,
Τοῦ προκέκλεται αὐτὸς, ἐὴν ὑπάρεχε τε χεῖρα·
Σήμερον εἰ πείσεσθε, καὶ ἧς ἐπακέσετε φωνῆς,
8 Μηκέτι κῆρ ἀτέραμνον ἐνὶ φρεσὶν ὔμμι γένοιτο,
Οἷόν τε προτέροις πάλιν ἀνδράσι νείκεος ὥρῃ
Λυγρῇς, πειρασμοῖό τε ἦματι γῇ ἐν ἐρήμῃ·
9 Ὄφρα μευ ὑμέτεροι πατέρες ποτὲ πειρήτιζον,
Καὶ δοκιμάζεμεναί μ' ἔτλαν φρεσὶ, θέσκελα ἔργα
Πολλά περ ὀφθαλμοῖσιν ὁρώμενοι, οἷά τ' ἔρεξα.
10 Τῇ δ' ἀνδρῶν γενεῇ μάλ' ἐτείρετό μοι φίλον ἦτορ
Τεσσαράκοντ' ἔτεα, σφέτερ' αἴσυλα ἔργ' ἰδόωντι·
Καὶ τότ' ἔφην, Ὅδε λαὸς ἀεὶ φρένας ἠλεός ὄχθι,
Πλαγκτός τε κραδίην, καὶ ἐμοὺς ἐκ οἵδε κελεύθους,
11 Τοὔνεκα χωόμενος φρεσὶν ὤμοσα καρτερὸν ὅρκον,
Μήποτ' ἐλεύσεσθαι αὐτοὺς ἐμὸν ἐς κατάπαυμα.

Ψαλ.

Ψαλ. ξ'. 96.

1 Ἀθανάτῳ νέον ὕμνον ἀείσετε· κλείετε Ἄνακτα
Ὅσσοι ὀπὶ χθονὶ ναίετε, ἀοιδῇ κλείετε πάντες.
2 Κλείετ' Ἄνακτ', αἰνέοντες ἐὸν κλυτὸν οὔνομ' ἀοιδῇ,
Λαῷ ἀπαγγέλλοντες ἐὸν μῦθον ἤματα πάντα,
Οἷος ὅδ' ἀνέρας ὄζει φυλάξαι ἠδὲ σαῶσαι.
3 Κύδος ἐὸν καταλέξαι ἐν ἔθνεσι, μέρμερά τ' ἔργα,
Οἷά τε θαύματα ἔρεξεν ἐνὶ λαοῖσιν ἅπασιν.
4 Ἀθάνατος μὲν γάρ τε μέγας, μέγα τ' αἰνετός ὄζει·
Δεινός τ', αἰδοῖός τε θεῶν πέλει ἔξοχα πάντων.
5 Πάντες γάρ τε θεοὶ ἐθνέων, εἴδωλα πέλονται,
Οὐ θεοί· Ἀθάνατος ὃ κὴ οὐρανὸν εὐρὺν ἔταξε.
6 Πὰρ δέ τέ οἱ πιμπλὴς κὴ ὑπείροχον ἔπλετο κῦδος·
Ὧ δ' ἐνὶ νηῷ ὁμῦ χάρμος κὴ κάλλος ἔασιν.
7 Εἶδ' ἄγετ', Ἀθάνατον κυδαίνετε φῦλ' ἀνθρώπων,
Φάσθε δέ μιν πίειν μὲ τιμὴ πέρι δ' ἔμμεναι ἀλκήν.
8 Τιμᾶτ' Ἀθανάτου ὄνομα κλυτὸν, ὡς ἐποίκειν·
Ἀγλαὰ δῶρα φέροντες ἐὸν δόμον εἰσαφίκεσθε.
9 Πρωίεες ἀζόμενοι ὁσίῃ ἱκετάδες Ἄνακτα,
Καλλίσῃ ὁσίῃ· καὶ ἑ δείδιθι πᾶσα τοὶ χθών·
10 Φάσθε κὴ εἰν ἔθνεσιν, ὅτ' Ἀθάνατος βασιλεύει,
Ἱδρύνθη δέ τε γαῖα ἀλαμπερὲς, οὐ ἀραρῖα,
Οὐδέ κε κινυμφύη κεν ἐοῖς ζομέοιτο θεμέθλοις,
Σπῆ ὃ μάλ' ἀσφαλέως, ἐπεὶ οἱ δίκη ἔρμα τέτυκται,
Λαὸς ἕνεκα μέλλει ὅγ' εὐνομίῃσι δικάζειν.
11 Οὐρανὸς εὐφραινέσθω, ἀγαλλομένη ὃ χαρήτω
Γαῖ' εὐρύστερνος· σμαραγείτω δ' οἶδμα θαλάσσης,
Πάντα τε τῇ ἐνέονθ', ἁλιοτρεφέ ὅσσα τ' ἔασι·
12 Χαιρόντων δ' ἀγροὶ, ὅσα τ' εἰν ἀγροῖσι πεφύκει·
Καὶ τότε δένδρεα πάντα γανύσσεται, ἅσσα δέ θ' ὕλη
Τηλεθόωσα φύει, κὴ εὐφροσύνῃ ἀλαλάξει,
13 Ἀντίον Ἀθανάτου, ὅτι ἦλθ', ὅτι ἦλθε δικάζειν
Γαῖαν ἅπασαν· ἐπεὶ ὅ κεν ἰθείῃσι δίκῃσι
Κείνει χθόνα πᾶσαν, ἀληθείῃσί τε λαούς.

Ψαλ.

Ψαλ. ϙζ'. 97.

1 Ἀθάνατος βασιλεύει, ὅ εἵνεκ' εὐφροσυνώσι
Γαῖά τ' ἰανθείη, ἅμα ϗ νεχαρίατο νῆσοι
Πᾶσαι, τὰς περὶ πόντος ἀπείριτος ἐστεφάνωται.
2 Ἀμφὶ δέ οἱ κύκλῳ νέφεα σκιόεντα κέχυντο,
Καὶ ζόφος ἠερόεις ἅμα δ' εὐνομίη τε δίκη τε
Οὐ θρόνον ἱδρύσαντο, καὶ οἱ ἕδος ἀσφαλές εἰσι.
3 Τῷ πρὸ μὲν ἤιε πῦρ, πάντη δηίους τ' ἀμάθυνε.
4 Τῷδε ϗ ἀστεροπαὶ πρὸ τ' ἀμφί τε γαῖαν ἔλαμψαν·
Ὡς ἴδεν, ὡς ἐρίγησε ϗ ἔτρεμε πᾶσα περὶ χθών.
5 Ὡς δ' ὅτε κηρὸς τήκεθ' ὑπειγόμενος πυρὸς ὁρμῇ,
Ἐγγύθεν ὀρυμαγδοῦ· ὣς ἤρεα τήκεθ' Ἀνακτος
Ἐγγὺς ἰόντος, Ἄναξ ὅς τε χθονὸς ἔπλετο πάσης.
6 Κήρυξ εὐδικίης ἧς οὐρανὸς εὐρὺς ὕπερθε·
Καὶ λαοὶ σύμπαντες ἐὸν μέγα κύδος ὁρῶνται.
7 Τοὶ ϑ' καταισχυνθεῖεν, ὅσοι τ' εἰδώλα σέβονται,
Θεοῖσιν ἀγαλλόμενοι ϗ δαίμοσιν ὑπδαύοισι·
Τὸν δ' ἄζεσθ', ὅσσοι τε θεοὶ ϗ δαίμονές ἐστε.
8 Πευθομένη τόδ' ἔχαιρε, γέγηθέ τε πότνια Σιών,
Κέρμασιν δέ τ' Ἰουδαίης μάλα θυμὸς ἰάνθη,
Σῶν τε δικαίων εἵνεκ', Ἄναξ, ὁσίων τε θεμίστων·
9 Καὶ γὰρ Ἄναξ, σύγε πᾶσαν ὑπὲρ χθόνα πολλὸν ἀέρθης
Ῥεῖα· ὕπατός τε, θεῶν τε μάλ' ἔξοχος ἔπλεο πάντων.
10 Ὑμμιν ἀπεχθέσθω κακὸν, ὅσσοι Ἄνακτα φιλεῖτε·
Ὅσπερ ἑῶν ὁσίων ψυχὰς ζωλύ τε φύλαξε,
Καὶ σφέας εἰρύσατο κρατερῆς ἐκ χειρὸς ἀλειτέων·
11 Νῶῖ φάος ἔσπαρται, (φύεται δέ τε καρπὸς ὀπίσω)
Τοῖσι δικαίοισι γλυκερὸν φάος· ἀνδράσι δ' αὖτε
Χάρμα τ' εὐφροσυνήν τ' ἰδὺ φρεσὶν ἦτορ ἔχυσι.
12 Χαίρετ' Ἀνακτι δίκαιοι· ἓϐ ϑ' κλείετε κῦδος
Οὐνόματός δ' ἱερῆο, ϗ ὅ μνημήϊον αἶνε.

Ψαλ.

Ψαλ. ζή. 90

1 Εἰδ' ἄγε, Ἀθανάτῳ χαμαὶ ἀναμέλψατ' ἀοιδῷ,
Οὕνεκα μέρμερα ἔργα, καὶ ἄσπετα θαύματ' ἔρεξε·
Δεξιτερῇ δ' οἱ ἔτευξε φάος, ὅσιός τε βραχίων
Δῶκεν καμμονίην, καὶ ὑπέρτερον ἤρατο κῦδος.

2 Ἀθάνατος μέγ' ἔφην φάος ἀθρήσασι βροτοῖσιν·
Ἠδέ τ' ἀείγνωτον τόδε θῆχ', ὡς ἔτεια σάωσεν
Ἀνέρας, ἐνδυκέως τε· δίκῃ τε καὶ αἴσιμα ἔργα
Πᾶσι μάλ' ἀμφαδὰ δεῖξεν, ἵν' ἔθνεά τ' εἰσορόωσι.

3 Οἴκτου ἀληθείης τ' ἐμνήσατο ὃν κατὰ θυμόν,
Ἐς δόμον Ἰσακίδαο· τὰ δ' ἔργατα πείρατα γαίης
Πάντ' ἴδεν ἠδ' ἐνόησε Θεοῦ ἔργ' ἡμετέρῳσι,
Ἴλαος οἷά τ' ἔοργε, ὅτε τ' ἀνέρας ὦρτο σαώσων.

4 Πάντα μάλ' Ἀθανάτῳ ἀλαλάξατε πείρατα γαίης·
Τῷδέ τ' ἀγαλλόμενοι αἰὲν ὀχεῖ ναιετάοντες
Γηθεῖτ', ὕμμι τε πᾶσιν ἀνὰ στόμα χάρμα χύοιτο,
Καί μιν ἐπαινεῦντες λιγυρῇ ἐνπνέατ' ἀοιδῇ.

5 Μολπῇ καὶ φόρμιγγι λιγείῃ κλείετ' Ἄνακτα·
Μέλπετε μὲν φόρμιγγι, μελιφθόγγοισί τ' ἀοιδῇς.

6 Σαλπίγγων τ' ἐνοπῇ, κεράων τ' εὐηχέϊ φωνῇ,
Φωνῇ ἀειζήλῃ ἀλαλάξατε τῷ Βασιλῆϊ.

7 Πόντος ἅμα σμαραγείτω ἀπείριτος οἴδματι δύων,
Ὅσσα τ' ἐν αὐτῷ ἔασι, (βαὶ δ' ἁλίαστος ὀρώρη·)
Γαῖά τε καὶ σύμπαντες ὅσοι μὲν ναιετάουσι.

8 Χεροί τε συμπλαταγεῦντες ὁμοῦ ποταμοὶ ἐείδωσι
Χαιρόντων· ἅμυδίς τ' ὀρέων αἰπειναὶ κάρηνα·

9 Ἀντίον Ἀθανάτου, ἐπεὶ ἔρχεται ὄφρα δικάζῃ
Γαῖαν· φῦλα βροτῶν ὅ κεν εὐνομίῃ δικάσειεν,
Ἰθείας λαοῖσί τ' ἔνι κείνοις θέμισας.

Ψαλ.

Ψαλ. ϟθ'. 99

1 Ὁ Θάνατος βασιλεύει, ἅμα τρομεοίατο λαοί·
Τῷδε ϗ ἐν μέσῳ ἱερῶν ἕδος ὄζι Χερούβων,
Ἔνθα καθέζετ' Ἄναξ, κλονέοιτό γε πᾶσα τοῦ χθών.
2 Ἐν Σιῶνι μέγας πέλεται Θεός· ὕψι δ' ἄρθη
Πάντας ὑπὲρ λαοὺς, ὑπὲρ ἔθνεα πάντ' ἀνθρώπων.
3 Αἰδοῖον μέγα τε δεινόν τε σὸν οὔνομα λαοὶ
Κλειόντων ἅμα πάντες, ἐπεὶ μάλα θ' ἱερόν ὄζιν.
4 Οὐράνιος Βασιλεὺς, ὅτε κράτος ὄζι μέγιστον,
Τίει τ' ἀδικίην, φιλέει δέ τε αἴσιμα πάντα·
Εὐνομίην σὺ πίσηθα βροτοῖς, ὁσίας τε δέμιστας,
Ἐν τ' Ἰακωβιάδῃσι δίκην ἰθυντάζα εἶπες.
5 Δεῦτ' ἄγε δ' ὕμνοισιν λιγυροῖς κυδαίνετ' Ἄνακτα,
Ἡμέτερόν γε Θεόν, προπρό τε δρῆνυν ποσὶν αὐτοῦ
Προσκυλινδήμενοι ἅζιοι, ἐπεὶ ἱερός ὄζιν.
6 Εἰν ἱερεῦσιν ἑοῖσιν ὁμοῦ Μωσῆς τ' Ἀαρών τε,
Ἐν τέ οἱ εὐχομένοισι Σαμυήλη λάσιον κῆρ·
Οἳ μὲν Ἄνακτ' εὔχοντο, ὁ δ' εὐχομένων ὄπ' ἄκουε.
7 Τοὺς μὲν ὅ γ' ἐκ σήλης προσεφώνεεν ἀχλυόεσσης,
Μέσσῃ τ' ἐκ νέφεος δεινοῦ ἀνενείκατο φωνήν.
Θέσφατα δ' οἱ ἐφύλαξαν, ἐφετμιὴν θ' ἣν ἔδωκε.
8 Τῶν δ' ἐπάκουσας, Ἄναξ ὁ Θεὸς, φρίσι δ' ἵλαος ἦσθα·
Μειλίχιος Θεὸς ἦσθ', εἰ ϗ μετέπιθε νοήσας
Ἄτην τε φρετέῃσιν ἀπέπισαο ϗ κακὰ ἔργα.
9 Εἶδ' ἄγε δ' ὕμνοισιν λιγυροῖς κυδαίνετ' Ἄνακτα,
Ἡμέων ὃς Θεός ὄζιν, ἐὸν δ' ὄρος εἰσαφίκεσθε
Ἱερὸν, ἔνθα τέ μιν γυιέμενοι αἰδέσασθε·
Ἀθάναλος γὰρ Ἄναξ ἡμέων Θεὸς ἱερός ὄζι.

Ψαλ. ρ'. 100.

1 Κλείοντες τὸν Ἄνακτα, μὴ ἀλαλάξατε φωνῇ·
Τῷδέ τ' ἀγαλλομένῃ ἀλαλάξαι πᾶσα τοῦ χθών,
Ἔθνεά τε ξύμπαντα, βροτῶν τ' ἀπερείσια φῦλα.
2 Ἀθάνατον θεραπεύετ' εὐφροσύνῃσι νόοιο·

Μολπῇσι

Μολπῇσι γλυκερῇσιν ἑῆς ἀντήσαι ὀπωπῆς.

3 Ἴσθ' ὅτι μὲν Ἄναξ πέλεται Θεὸς, ὐδέ τις ἄλλος.
Ἡμέας δ' αὐτὸς ἔτευξε· οὐκ εἰμὲν δ' αὐτοχόωνοι,
Οὐδέ τι αὐτογενεῖς, χειρῶν τ' ἔργ' ἠμετεράων,
Ἀλλὰ Θεόδμητοι, αὐτῷ πελόμεσθα δὲ λαὸς,
Λαὸς μὴν τ' αὐτῷ, ὄϊες δέ τε οἷο νομοῖο.

4 Εἰσοιχνεῖτε πύλας αὐτῷ, θείῃ καλλέα τ' αὐλῇ,
Ὕμνοισι λιγυεθῖσιν ἐὸν κλέος ἀμφιέποντες,
Καὶ ἐὸν οἶκον ἐσέλθεῖ' ἀοιδιάοντες ὁμαρτῇ.

5 Ἀθάνατος γὰρ Ἄναξ ἀγαθός τε κἠπιόδειος,
Τῷ κεν ἐπηείη ἔλεός τε ἀμπερὲς αἰεί
Μίμνει, ἀληθείη τε δι' ἀλλήκτων γενεάων.

Ψαλ. ρα'. 101.

1 Μειλιχίῳ τε δίκῃ τε μιῇ ἀναμέλψομ' ἀοιδῇ·
Τῇ σ' ἀναμέλψομ', Ἄναξ, σὺ γὰρ ἀμφοτέρῃσι κέκασσαι.

2 Εἶμι δ' ὁδὸν πιυτῇ, κἠ ἀμύμονα βήσομ' ἀταρπὸν
Εὖ καὶ ὀπιζομένως· πότε δ' ὡς ἔμ' ἐλεύσεαι, οἴκῳ
Εἰν ἐμῷ ἰθείῃ κραδίῃ πωλήσομαι ἔμπης,
Ὡς κἠ ἀμύμων αὐτὸς ἔω, κἠ ἀμύμονα εἰδώς.

3 Ὄμμασιν οὔτ' ἐκὼν κακὸν ὄψομαι, οὔτ' ἀσύφηλον,
Αἴσυλον οὐδέ τι μοι θήσω πρόπαροιθεν ὀπωπῆς·
Ἐχθρὰ δέ μοι τῶνδ' ἔργα, παρὲξ ὁδὸν οἵ τ' ἀλόωνται,
Καί σευ ἀπέκλιναν, οὐδ' ἔπι ποσὶ ἔξεσ' ἐμεῖο.

4 Σκληπτὴ δὲ κραδίη σκολιόφρονος ἀνέρος ἔσσοι
Τῆλ' ἀπ' ἐμεῖο· κακὸν δ' οὐ γνώσομαι οὐδὲ φιλήσω.

5 Τὸν δ' ὃς ἐλεγχείλιν λάθρῃ ἀνέδησεν ἑταίρῳ,
Καί μιν ὀπίστα κακῶς μωμήσατο, πάμπαν ὀλέσσω·
Οὐδέ κ' ἀνασχέθοιμι ὑπερφανέοντα δυσαίμιν,
Ὄμμα θ' ὑπερφίαλον, κἠ ἀγλαΐσματα θυμὸν ἔχοντα.

6 Ὀφθαλμοὶ δ' ἐμοί εἰσ' ὀπιπευτῆρες ἀνθρώπων,
Χώρῃ ἐν ἠμετέρῃ, ἵν' ὑπαρτίοι μοι ἔωσι·
Καὶ θεράπων ἐμὸς ἔσσ' ἀνὴρ, ὃς ἀμύμονα εἰδῇ.

7 Ὃς δὲ κακὴν ἀπάτην βαλεύεται, οὔτοι ἐμῇς γε
Χοίνικος ἅπτεται μὲν ἀνέξομαι, οὐδέ τ' ἐμὸν δῶ
Ναίειν, ὐδέ μοι ἄντα μένειν, ὃς ψεύδεα βάζει.

8 Πρωῒ δὲ πάντας ὀλέσω, ἀτάθαλοι οἵπερ ἔασι
Γαίῃ ἐν ἡμετέρῃ. ἵν' ἀπ' Ἀθανάτοιο πόλησ
Πάντας ἀποξέσσω, ὅσοι κακὰ μηχανόωνται.

Ψαλ. ρϛ'. ϛοϛ.

1 Ἐγχωλῆς μου ἄκουσον, Ἄναξ, ἱκέτεω ὅπα δέξο
Ἴλαος, σέ τε φωνὴ ἐμεῦ βοόωντος ἱκέσθω.
2 Μὴ ἀπ' ἐμεῦ τρέπε ὄσσε κακῇ ἐν ὀϊζύϊ ὥρῃ,
Νοσφισθείς· μάλ' ἑτοῖμά τοι οὔατ' ἀκουέμεν ἔσω,
Ἤματι λυγαλέῳ τάχα μευ φαεσσύντος ἄκουσον.
3 Ἤματα γάρ μευ ὄλωλε, καὶ οἴχεται ἠΰτε καπνός·
Ὀστέα δ' αἰάνθη, ὡς ἐφάρη ἐν πυρὸς αὐγῇ.
4 Ὡς δ' ὅταν ἠέλιος βάλλῃ νεοθηλέα ποίλῃ
Ἀκτίνεσσιν ἑῇς, ἡ ὃ βλωθεῖσα μαράνθη·
Ὣς καὶ ἐμοὶ ἐμαράνθη ἐνὶ στήθεσσι φίλον κῆρ·
Οὐνεκά τε φρεσὶν ἐκλαθόμην σίτοιο πάσασθαι·
5 Οἰκτρ' ὀλοφυρομένῳ καὶ ὀπὶ σονόεσσαν ἱέντι
Σάρκες μοι φθινύθουσι, κατεσκλήκασι δ' ὀστᾶ
Τηκεδόνι συνερῇ, ξυνοῖο δέ τ' ὄσσε ἔχοντα.
6 Χώρῳ ἐν οἰοπέλῳ πελεκὰν ὣς οἷος ἀλᾶται,
Τοῖος ἐγὼ δειλός· ὥς τε γλαὺξ νυκτὸς ἐταίρη,
Ἥ τ' αἰεὶ μυγέται, ἔρημά τε οἰκία ναίει.
7 Κεῖμι ἐγρηγορέων, καὶ ἀΰπνους νύκτας ἰαύω·
Ὡς εἰ σρυθὸς ἔην ὅπι δώματα οἰόθεν οἵος.
8 Δυσμενέες σεόπαν ἦμαρ ἐμοὶ κατ' ὀνείδεα χεῦαν
Αὖτως· ὥς καὶ ἐμεῦ κρατερὴ σφέας κύσατο δέσμη,
Σιὼ δέ τε ὅρκον ὄμοσσαν, ἐμοὶ κακὰ μητίσοντες.
9 Τοὔνεκα δ' ὡς σῖτον κόνιν αἰθαλόεσσαν ἔδηδα·
Δάκρυσ' ἐμοῖσι ποτὸν μίξας, πίον ἀλμυρὸν ὕδωρ·
10 Σὸν δ' ὀπιζάφελόν τε χόλον μήνίν τε βαρεῖαν·
Ὅτι με σρῶτ' ἀνάειρας, ἔπειτα δ' ἀπέλιξας.
11 Ἤματα μεῦ σκιὴ ὡς φθείετ', ἐγὼν ὁπότε μέσον
Ἠέλιος σεσλιπὼν ζέπῃ ἐν ζόφον ἠερόεντα;
Καὶ χρόα καρφόμενος ξηράνθην ἠΰτε ποίη,
Ἠ ὀλίγον τεθαλυῖα τ' ἐπὶ χρόνον, αὖ τ' ἐμαράνθη
12 Ἀλλὰ σύγ', Ἀθάνατ', ἐσσί, μένεις δέ τε γαλιμὸς αἰεί.

Μνημο-

Μνημοσύν δέ τε σεῖο δι' ἀλλήκτων γενεάων.
13 Ὄρσεαι ἦν, Σιῶνά τ' ὀϊζυρὴν ἐλεήσεις·
Ἦλθε γὰρ χρόνος ἦλθε, φίλη τ' ἐλεητύος ὥρη.
14 Ὅτι τοὶ θεράποντες ἐρείπιά περ φιλέουσι,
Τύς τε λίθους αὐτῆς, καὶ ἐπὶ κόνιν ἀμφαλαπῶσιν.
Αἰδήμονες ἄρα πλύγε καὶ ἐν κονίῃσι πεσοῦσαι.
15 Ἔθνεα δ' ὡς δείσωσ' ὄνομα κλυτὸν Ἀθανάτοιο,
Ἅζόμενοι πάντες ἠδὲ τὸν κλέος, ὅσσοι ἔασι,
Σκηπτοῦχοι βασιλῆες ὅσοι χθονὶ κοιρανέοντες.
16 Ὁππότ' Ἀναξ Σιῶνα φίλῃ, καὶ ἃ τείχεα δείμῃ,
Κύδεϊ ᾧ σὺν λαῷ τότε ἀγλαΐῃ τε φανεῖται.
17 Ἀνδρῶν δ' οἰοπόλων, μεγάλη δ' ὃς ἴκετ' ἀνάγκη,
Εὐχωλῆς ἵλαος ἀκούσεται, οὐδ' ἀλογήσει.
18 Γράψει τῆς τόδ' ἔπειτα καὶ ἐσομένοισι πυθέσθαι,
Ὄφρα τ' ἀοίδιμον ᾖσι καὶ ὀψιγόνοις ἀνθρώποις·
Αἰνήσουσι δ' Ἀναχθ', οἳ κεν μετόπισθε γένωνται.
19 Ἐκ θρόνου ὑψηλοῦ, ὅθι οἱ ἕδος ἱερὸν ὄρθι,
Ἀθάνατος καθορᾶτο, καὶ εἰσιδε γαῖαν ἔνερθεν,
Ὑψόθεν εἰσιδὲ γαῖαν ἀπ' οὐρανοῦ ἀστερόεντος·
20 Ἀνδρῶν, οἳ κρατερῇσιν ἐέρχαται ἐν φυλακῇσι,
Γῶνδέ τ' ἀκουσέμεν στοναχὴν, καὶ δέσματα ῥῆξαι·
Αὐτὸς καὶ θανάτοιο δυσηχέος ἐξαναλῦσαι,
Οἳ πεφορωμένοι αἰσῃ οἴονται θανέεσθαι·
21 Πᾶσι μάλ' ἀμφαδὰ θεῖναι ἀγακλυτὸν ὄνομ' Ἀνακτος
Ἱερῇ ἐν Σιῶνι, καὶ ὃν κλέος ἐν Σολύμοισιν·
22 Ἰλαδὸν ὁππότε λαοὶ ἀγηγέρατ', ἔκ τε πολήων,
Χωρέων θ', ὧν κρατέουσιν ἀγακλειτοὶ βασιλῆες,
Πάντες ἅμ', ἅζεσθ' ἱερὸν μῶλον Ἀθανάτοιο.
23 Ἐσλαφέν μ' ἐν ὁδῷ, ἀμενηνώσωσιν δέ μοι ἀλκὴν,
Καί μ' ἀλαπαδνὸν ἔθηκε, φίλην αἰῶνα κολοῦσαι.
24 Φῆν ἄρα, Μή με, Θεός μου, ἀφ' ἡμισυ εἴρεο ζωῆς,
Μηδέ μοι ἐν μεσάτῳ δρόμῳ εἶη τέρμα βίοιο·
Σεῦ ἔτε' ἀλλήκτα, ζώεις δέ τε ναιετμὲς αἰεί.
25 Γαίης εὐρυχόροιο πάλαι σὺ θεμείλια θῆκας·
Οὐρανὸν ἀστερόεντα τεῇσί τε χερσὶν ἔτευξας.

26 Ἀλλ' ὁ μὲν ἕν κεν ὄλοιτο, σὺ δ' ἔσσεαι ἄφθιτος αἰεί·
Καί γε παλαιὸς ἅπας ὁ γένοιτό κεν ἠΰτε λώπη·
Ὡς δ' ὅτε τις τε χλαῖναν ἀπαὶ ἕο θῆκε παλαιὴν,
Ἄλλο ϝ ἕσσατο φᾶρος, ὃ οἱ παρεχέσπετ' ἀμοιβάς·
Ὣς σευ ἕκητ' ἀλλοῖος ὅδ' ἔσσεται, ἢ τὸ πάρος περ.
27 Ἀλλὰ σὺ αἰὲν ὁ αὐτὸς, ἀγήρως τ', ἀθάνατός τε·
Οὐδ' ἐτέων ποτέ τοι ἔσσῃ, ἣ βιότοιο τελευτή·
28 Τῶν δέ σέ γ' ἀζομένων πῦδες μενέουσι περ ἔμπης,
Πὰρ δέ τοι ἔμπεδοι αἰὲν ἔσονται, τοῖσί τ' ὀπίσσω
Οὐδέ ποτ' ἄσπορος γενεὴ καὶ ἄφαυρος ὀλεῖται.

Ψαλ. ργ΄. ΙΟΖ.

1 Αἶνε', ἐμὴ ψυχὴ, ἱερὸν μύθον Ἀθανάτοιο,
Καὶ κραδίη, ὅσα τ' ἐντὸς ἐνὶ στήθεσσιν ἐμοῖσι,
Πάντ' ἄμυδις κυδαινόντων ὄνομ' ἱερὸν αὐτοῦ.
2 Αἶνε', ἐμὴ ψυχὴ, ἱερὸν μύθον Ἀθανάτοιο,
Μηδ' ὀπιλήθεο τῶνδ', ὅσα τοι ποτὲ ἔδλα ἔοργεν.
3 Ὅς τοι ἀσφοδελοὺς ἀλιτήματα πάντ' ἀφέηκεν·
Ὅς τέ τοι ἰητῆρι, νόσους καὶ ἀκέσσατο πάσας.
4 Ὅς βίοτόν σευ ἔρυτο, σέ τ' ἐξεσάωσεν ὀλέθρου·
Μειλιχίῃ τ' ἐλέῳ τε τεὸν στεφάνωσε κάρηνον·
5 Ὅς τε φίλα φρονέοντι σόμα σοι ἔμπλησεν ἐάων·
Ὡς δ' ὁπότ' αἰετὸς ὄρνις, ἐπεὶ μιν γῆρας ἰκάνει,
Γίνεται αὖτε νέος, πτερά τ' ἐκδύς, ἃ πρὶν ἔχεσκεν·
Ὣς ὄγε σε, ζωῆς εἴπερ τέ τοι ἄνθος ὀλώλῃ,
Γῆρας ἀποξύσας, θήσει νέον ἡβώοντα.
6 Πᾶσι βιαζομένοισιν Ἄναξ ὁπιπάρροθός ἐστι·
Τῶνδ' ἕνεκ' ἰθείας αἰεί τ' ἔκρινε θέμιστας,
Εὐδικίας ἀνέχων, θυμαλγέα θ' ὕβριν ἀλάλκων.
7 Ὅς τε πάλαι ἀνέφηνεν ἑὰς Μωσῆϊ κελεύθους
Θεσμοφόρῳ, τὰ ἃ ἔργ' Ἰσραήλοιό τε παισίν.
8 Ἤπιός ἐστιν Ἄναξ καὶ μείλιχος ἠδ' ἀγανόφρων·
Δολιχὴ μέν οἱ χόλος, μάλα δ' οἷος ἔης ἐλεήμων.
9 Οὔ οἱ ἔρις φίλη ἔς, ἢ νεικέσσει ἐμμενὲς αἰεί·
Μῆνιν ἀποξέφει, οὔτ' ἀσκελέως ἐνὶ θυμῷ

Χώσε-

Χώσεται, οὔτε χόλον φρεσὶν ἤματα πάντα κιδήξει.
10 Τέτληκ', οὐθ' ἡμέας ἔρδει οἷ' ἠλιτόμεθα·
Οὔτε κακοξείαφίης μισθὸν κακὸν ἄμμιν ὀπάζει.
11 Ὅσσον δ' οὐρανός ἐστιν ὑπὲρ χθόνα πυκνὸς ἐτείρων·
Τόσσον ὑπὲρ τ' ἄνδρας, τοῖσιν νόος ἔστι θεοῖσι,
Οἵ τέ μιν ἄζονται, χάεις αὐτῷ κὴ ἐλεητύς.
12 Ὅσσον δ' ἠέλιός τ' ἀνιὼν ἀπὸ δυσομένοιο,
Τόσσον ἀφ' ἡμείων ἡμέων ἀλιτήματ' ἔθηκεν.
13 Ὡς δ' πατὴρ ἐὰ τέκνα φιλοφρονέων ἐλέησεν·
Οὕτω κὴ φρεσὶν ἦσιν Ἄναξ ἐλέησ' ἀνθρώπους,
Οἵ τέ μιν ἠδέασαντο, θεοῦδέα θυμὸν ἔχοντες.
14 Ἡμέων γὸ φύσιν οἶδε, ἧμας δέ τε, ὡς ἐλαφαδνόν·
Εὖ τόδε κὴ μέμνηται, ὅτ' ἀβληχρὴ κόνις εἰμύ.
15 Οὐ μὰ γάρ τι πε δεῖ μιμνωδαδιώτερον ἀνδρὸς,
Οὗ τε κὴ ὠκύμορος πέλεται βίος ἠύτε ποίη·
Ἀνθεῖ δ' ἴσα τέθηλε, μίνωθά περ, ἤτι μάλα δίω,
Ἀνθεῖ εἰν ἀγροῖσιν, ὅς αἰών τ' ὀλιγίστη.
16 Ἦλθε γὸ ἐξαπίνης ἄνεμος, τό δέ γ' οἴχετ' ἄφαντον,
Λίφα μαραινόμενον· χῶρος δ' ἐὸς ἔπι μιν ἔγνω.
17 Ἀθανάτου δ' ἔλεος αἰὲν τε παλαίων γενεάων,
Ἐς πάσας τε δικαιοσύνας ἔσται ὕστερον αὖθις
Τοῖσί μιν ἀζομένοισιν ἐνὶ φρεσὶν· οὐδικίη τε
Ἐς παῖδας παίδων, τοί κεν μετόπιδε γένωνται.
18 Εἰς αὐτὸν ὅσοι τὰ ἃ ὅρκια πιστὰ φύλαξαν,
Καὶ μνήσανθ' ἐπέων, ἵν' ἐὰς τελέσωσιν ἐφετμάς.
19 Ὃν θρόνον ἐν οὐρανῷ ἵδρυσεν ἐν ἀερόεντι
Ἀθάνατος, κὴ σκῆπτρον ἑὸν πάντεσσιν ἀνάσσει.
20 Αἰνεῖτ' ὔμμες Ἄναχθ', ἐοὶ Ἄγγελοι οὐρανίωνες,
Οἱ κράτεϊ πρέπεθ', ἑὸν τ' ἐτελέσατε μῦθον
Πρόφρονες, οὐδ' ἀπέθησατ' ἐφημοσύνῃσιν ἔῃσιν.
21 Αἰνεῖτ' ὔμμες Ἄναχθ', ὅσσοι ἄρα οἱ στρατοί ἐστε,
Ὀτρηρὸὶ θεράποντες, ἐὰς τελέοντες ἐφετμάς.
22 Ἀλλ' αἰνεῖτε κὴ ὔμμες Ἄναχθ', ἐὰ ἔργα τε πάντα,
Χώροις ἐν πάντεσσιν, ὅσσοισι κὴ ἐμβασιλεύει·
Εἶδ' ἄχ', ἐμὴ ψυχὴ, σὺ δέ τ' αἶνει κὴ τ' Ἄνακτα.

Ψαλ. ρδ'. 1044.

1 Αἶνε, ἐμὴ ψυχή, ἱερὸν μέλος Ἀθανάτοιο·
Ἦ μάλα μὲν μέγας ἔπλευ, Ἄναξ, ὃς ἐμὸς Θεός ἐσσι·
Κύδεΐ τ' ἀγλαΐῃ τε πεῖν ὦκὺ εἵμαθ' ἔδηκας.
2 Ἑσσάμενος λαμπρὸν φάος ὡς σύεργα λώπην·
Οὐρανὸν οὐρῳὼ ὑπερθε τανύσσας, ἠΰτε δέρμα,
Ὡς ὅτε τις τανύσσας κλισίην εὐπηκτον ἔδηκεν.
3 Ὃς τε δοκὸς θαλάμων, ὑδ' ἰκεία ὦν ὑαρώων,
Θαῦμα ἰδεῖν, ἔσησεν ἐν ὕδασι κὴ νεφέλῃσιν·
Ὑψι δ' κυανέοισιν ἐφεζόμενος νεφέεσι,
Κυδιόων φέρεται, ὡς ἅρμασι κολλητοῖσι,
Ῥίμφα βιβὰς πτερύγεσσι πολυπλάγκτῳ ἀνέμοιο.
4 Καὶ Νόας ὑρανίης, ἑοὶ Ἄγγελοι οἵ τε πέλονται,
Οὐ χερὸ' ἔχοντας ἔτευξε, δοὺς δέ τε ὥσπερ ἀήτας·
Καὶ θεράποντας ἑοὺς πυρὸς ὡς φλόγα αἰθομένοιο.
5 Ὃς πάλαι εὐρυχόρῳο θεμείλια δήσατο γαίης
Ἀσφαλέ', ὄφρα μένῃσι μάλ' ἔμπεδος, αἰὲν ἐοῦσα,
Οὔποτε κινυμένη, ἀλλὰ δ' ἀμπερὲς ἑσηκυῖα·
6 Βένθεϊ μὲν τὰ πρῶθ' ὡς φάρεϊ ἀμφεκάλυψας,
Οὐδέ πω ἀνχεθέειν δύνατο ξυρὸν ὑπείρῳο,
Ἶζον βειδοσύνῃσι· κὴ οὔπιος ἰχανόωντο
Ὕδατα τολμήεντ' ὑπὲρ οὔρεα μακρὰ βέβηκε.
7 Σεῖο δ' ὁμοκλήσαντος ἄφαρ φύγεν, ὡς τε σὺ φωνῆ
Δεινὸν βρόντησας, τάδε τ' ἐσυμένως ἐφοβεῖτο,
Καί σε ὑποδδείσαντα κατὶς πολλὸν ἔνερθεν,
Ἐς μισγάγκειαν, ξυνεσίην δ' ὑλάτων ἐειδύπων.
8 Εἰς ὄρε' ἆλτ' ἀναβαίνει ὑποχθονίοισιν ἐναύλοις,
Καί ῥ' αὖθις καταβαίνει, ἰδ' ἐκ πηγέων ῥεεθρέοντα
Ἐξ ὀρέων ὄπι κὰς ἀλὸ τ' ἄγκεα κὴ ἀλὰ βήσας
Σεύεται, ὄφρά θ' ἱκάνῃ ἐς ὠκεανὸν βαθυδίνῃν,
Ὅππόθι σὺ ξυνὸν σφιν ἔδος κὴ χῶρον ἔδηκας.
9 Τέρμα δ' σύ σφιν ἔταξας, ὃ ὐ δέμις ὄφρ' περῆσαι,
Οὐδ' ἐξαῦθις ὑπὲρ χθόνα βήμεναι, ὐδὲ καλύψαι,
Εἴπερ κλυά τε παφλάζῃ, μέγα δ' οἴδματι δῦον

Μορμύρῃ

Μορμύρῃ πόλαγος, περάαν ῥέον ἐμμενὲς αἰεί,
Ἠϊόνας δ' ὐδ' ὣς ὑπεράλλεται ἰέμενόν περ.
10 Πηγὰς ἐς ποταμοὺς, καὶ πίσεα ποιήεντα,
Ἄγκεά τε προέηκεν ἀν' ὕρεα μέσσα ῥέεσσας.
11 Φηρσὶν ὀρεσκῴοις ἔνθεν ποτὸν ἕπλετο πᾶσι·
Καὶ ὅσοι ἀγρότεροι ἄρισαν πολυκαγκέα δίψαν.
12 Πὰρ δ' ἁλὸς ναίουσιν ὑπερκρεμάων πετεηνῶν,
Δενδρέων εἰν ὄζοισιν ἀοιδιάων πυκινοῖσιν.
13 Ἐξ ὑπερωϊόφιν δ' ἀείρει ὄμβροισι κάρηνα
Ἠλιβάτων ὀρέων, ἵνα μὴ ἀρδμοῖο χατίζῃ
Τόμβος ὑρανόθεν· βείθει καρποῖσι τεοῖσι
Γαῖα, τεῶν τ' ἔργων πλῆτο χθὼν εὐρυοδείη.
14 Ἡ δέ τε τοῖο ἕκητι φύει ἐριθηλέα ποίην,
Θήρεσσι μὲν ποίην, βοτάνην δέ τε ἀνθρώποισιν·
Ἀλλὰ καὶ ἐκ γαίης προφέρει μενοεικέα σῖτον.
15 Οἶνόν θ', ὅς τ' ἀνδρὸς κραδίην καὶ θυμὸν ἰαίνει,
Ἠδέ τ' ἔλαιον, ὃ καὶ λιπαρεῖ οἱ δῆκεν ὀπωπή·
Ἄρτον τε, κραδίης ὅπερ μέγα δεῖπνον ἀνάκτων,
Ἄρτον θ' ἕρμα βίοιο, καὶ ἅλφιτα μυελὸν ἀνδρῶν.
16 Δένδρεά τ' Ἀθανάτοιο μάλ' ἀλθήσκοντα τεθήλει,
Οὔτέ ποτ' ἔν νοτίῃς ὀπιδεύεται, οὔτέ τευ ἄλλου
Καί κέδροι Λιβάνοιο διωδέκα, ἃς ἐφύτευσεν.
17 Ἔνθα σφὰς ὄρνιθες ἐτεκτήναντο καλιὰς,
Οἷσις ἐν πυκινοῖσι πεπυγμένα δώματ' ἔχουσαι·
Τῇσι μέτ' οἰκία καλὰ, φίλης κομέων τε τοκῆας,
Ναιετάει ἐλάτῃσιν ἐν ὑψηλῇσι πελαργός.
18 Ἄγριοι αἶγες ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα·
Πέτρῃ τε γλαφυρῇ πυκινὸς δόμος ἀρκτομύεσσιν.
Ἢ σόοι ἀμφότεροι, καί τέ σφιν φυκτὰ πέλονται,
Μήπως ὠμηστῆσιν ἑλώρια θηρσὶ γένωνται.
19 Τοῖο δ' ἕκητι σελήνη ἐν ἄστρασι νυκτὸς ἀμολγῷ
Πλήθει τε φθίνει τε, καὶ οὐ ὥρῃσιν ἀνάσσει·
Πᾶν δ' ἦμαρ φέρεται λαμπρὸν φάος ἠελίοιο,
Ὅς τ' ἐπεὶ ἤνδανε περῶν δρόμον ὃν τολύπευσεν,
Εὖ οἶδεν καταδῦναι, ὅταν μέλας ἔσπερος ἔλθῃ.

20 Σὺ νέφας ἱερὸν ἧκας, ἰδ' ἅλυδε νὺξ ἐρεβεννὴ,
Καὶ σκιόωνται ἀγυιαὶ ὅθι χθονὶ πυκυδοείρῃ·
Καὶ τότε θηεῖα πάντα, τά τε τρέφει ἄσετος ὕλη,
Ἐξέρποντα θύραζε (κακὸς γὰ λιμὸς ἀγώγει)
Περβλώσκυσ', εἴπε τ ἔλωρ καὶ κύρμα κιχεῖειν.
21 Καὶ τόδε μὴν τε νέοι ἀναμαξείκυσι λέοντες,
Οἴκτε' ὠρυόμενοι, βρυχὴ δέ τε ὐρανὸν ἵκει·
Ὡς οἵγε βρώμιον τε θεὸν αἰτίζυσιν.
22 Αὐτὰρ ὅτ' ἠέλιός γε νέον περσέβαλλεν ἀρέρας
Οὐρανὸν εἰσανιὼν, τότ' ἀολλέες ἠγερέθονται,
Ἄψορρον δ', ἐπεὶ ὄν κὴ ἐθηπύος ἐξ ἔεργ ἔντο,
Κακκείοντες ἴασι, κὴ εἰν σὺνῇσι κέονται.
23 Πρωΐος αὖτ' ἀνὴρ περόμολεν καμάτοιο μεμηλὼς,
Ἠμάπος τὰ ἃ ἔργα πονεύμενος, εἰσόκεν ἔλθῃ
Δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐείδωλον ἄρυραν.
24 Ὡς ἀῶρείσιά σευ, ὡς ποικίλα τ' ἔργα πέλονται,
Ἀθάνατ'· ἦ μάλα πάντα νόῳ κὴ ὄπιφρονι βυλῇ
Ἔρξας· γαῖα μέλαινα τεῶν ἔμπλητο ἑάων.
25 Ὡς κὴ ἀθέσφατος ἥδε κὴ εὐρὺ ῥέουσα θάλασσα,
Ἔνθα δ' ἄπαν νεπόδων τε γένος, κὴ μυρία φῦλα,
Εἴν ἁλὶ νηχομένων, ἅμα μικρῶν τε μεγάλων τε.
26 Ἔνθα δὲ νῆες ἴασι πολύζυγοι, αἵ τ' ἅλσος ἴππου
Ἀνδράσι γίγνονται, περόωσι δὲ πλωὶ ἐφ' ὑγρήν.
Ἔνθα δ' ἅλσος μέγα θαῦμα, πελώριος ὄφιος ἰχθὺς,
Κῆτος, τόν τε σὺ τεῦξας ἀταλλέμεναι ἐνὶ πόντῳ.
27 Σοὶ ἔπι ταῦτα γ' ἔελπονται ποτιδέγμενα πάντα,
Εἰσόκ' ἐν ὥρῃ σφιν βρωτὺν μενοεικέα δοίης.
28 Τὼ ὃ σὺ μὲ δῶκας, τὰ ὃ συλλέξαντο δοθεῖσαν.
Σεῖό τ' ἀνοίξαντος χέρα πλήθυσιν ἑάων.
29 Τῶν δ' ἀπονόσφι τελεύ σευ ἀποτρέψαντος ὀπωπὼ,
Ἔκπαγλα κλονέονται· ἀϋτμὴν δ' ἣν ἀφέλησι,
Θνήσκυσιν, τάχα δ' αὖτε κόνις κὴ γαῖα γίνονται.
30 Πνεῦμά σευ ἣν ἐσθήσῃ, τάδ' ἄλλα μετ' ἄλλα τέτυκται·
Οὐδὲ φύσις ποτ' ὄλωλεν, ἀεὶ γάρ τ' εἴαρος ὥρῃ
Γαίης ζεισώσεις νέον σὺ πρόσωπον ἔθηκας.

31 Ἄφθι-

31 Ἄφθιτον, ἀλληκτόν τ' ἔσεται κλέος Ἀθανάτοιο·
Ἀθάνατος μέγα χαιρήσει ἔργοισιν ἑοῖσι·
32 Τῶδέ μιν εἰσορόωντος ὑπὸ τρόμος ἔλλαβε γαῖαν·
Τῶδε καὶ ἀπτομένῳ ὀρέων ἐκ καπνὸς ὄρυσεν.
33 Ὄφρά γ' ἔτι ζώω, καὶ ὀρῶ φάος ἠελίοιο,
Κλείω Ἄναχθ', ὑμνήσω ἐμὸν Θεὸν, εἰσόκ' ἀϋτμὴ
Ἐν στήθεσι μῶμυξ, καί μοι φίλα γύνατ' ὀρώρῃ.
34 Ἡδέα μοι ἔσσονται ἐμῷ μελεδήματα θυμῷ,
Ὁππότε βαλλόμενός μιν ἐνὶ φρεσὶ μερμηρίζω·
Καί κεν Ἄναξ μοι τερπωλὴ καὶ χάρμα γένοιτο.
35 Γαίης ἐξαπολοίατ', ἀλεῖται οἵπερ ἔασι·
Μηδέ τ' ἀτάσθαλοι ἄνδρες ἔτι ζωοῖσι μελεῖεν·
Αἴνει σὺ ψυχή μου, Ἄνακτα. Κλείε Ἄνακτα.

Ψαλ. ρε'. ΙΟΗ.

1 Κλείετ' Ἄνακτ', αὐτόν τ' ἐπὶ τ' ὄνομ' ἐὸν καλέσαντες·
Ἔργ' ὅσα τ' αὐτὸς ἔρεξ', ἐνὶ λαοῖς ἀμφαδὰ θέσθε·
2 Ὑμνοισίν μιν ἀείδε, ἀείδετέ μιν λιγυροῖσι,
Πάνθ' ἃ μέρμερα ἔργα μετ' ἀλλήλοισι λέγοντες.
3 Ἱερὸν ὄνομ' ἔσθ' μέγα τ' ὔμμιν χάρμα γένοιτο·
Τῷ δ' ἐπαγαλλόμενοι μάλ' ἐνὶ φρεσὶν εὐχετάσθε·
Τοῖσί τε γηθήσαι κραδίη, οἵ τ' Ἀθανάτοιο
Αἰὲν ἐέλδονται, καὶ σφέας γλυκὺς ἵμερος αἱρεῖ.
4 Ἀθάνατον ζητεῖτε, τό, τε κράτος Ἀθανάτοιο·
Δίζεσθε νωλεμὲς αἰεὶ εἰλυ χαείσαν ὀπωπήν.
5 Εὖ δέ τε μιμνήσκεσθε τάδε φρεσὶν, οἷά τ' ἔρεξε,
Θέσκελα, μέρμερά τ' ἔργα (πάρος δ' ἔχεν εἰσορόωντας)
Θαύματα· οἷά τ' ἔειπεν, ἃ θέσφατα ἠδὲ θέμισας.
6 Ὑμμες οἳ Ἀβράμοιο ἀμύμονος ἔ θεράποντος
Αἵματος ἐκγεγαῶτες, ἕης τ' ἔξ ἐσε φυέθλης·
Παῖδες Ἰακώβου, ὃν ἐλέξατο κῆρι πάντων.
7 Αὐτὸς Ἄναξ Θεὸς ἁμὸς, ὅου δίκαι εὐρὺ ῥέουσι,
Καὶ ἀνὰ γαῖαν ἅπασαν ἀγακλυτὰ εἰσὶ θέμιστες.
8 Ῥήτρης ἧς μέμνηται, ἰδ' ὅρκια πιστὰ φύλαξε
Νωλεμὲς, ἠδὲ λόγου, τὸν ἐπ' ἐσομένοισιν ἔτελλε,

Μέχει τε χιλιάδος γενεάων ἔμπεδον ἦεν).
9 Πρὸς φίλον Ἀβραμιον τάμεν ὅρκια σωθεσιάων·
Ἰσάκῳ δ', ἵνα πιστὰ μένῃ, μέγαν ὅρκον ὄμοσσε.
10 Τὸν ᾧ δὴ Ἰακώβῳ θεσμὸν ἔθηκε,
Σωθεσίην Ἰσραήλῳ ἀϊδ τ' ἀμπνεῖς αἰεί.
11 Ὡς ἔφατ' ἔν κ' ὑπέχετ'· Ἐγὼ χαναηΐδα γαῖαν
Δώσω ὔμμιν ἔχειν, κλῆσιν, μοῖράν τε δάσασθαι,
Υ̓́μμι τε κ' παισὶ κλῆρον παγχώιον ἦεν).
12 Ὄφρ' ἔπι παυρότεροι, λαοὶ δ' ὑπολίζονες ἦσαν,
Ἐν δ' αὐτῇ ξεῖνοί τε καὶ ἀλλοδαποὶ ἄνθρωποι.
13 Καὶ μετανάσσαν ἔσαν, γαίης δέ τε γαῖαν ἄμειβον,
Πολλῶν κ' δήμων ἴδον ἄστεα, κ' βασιλήων,
Πλαγχθέντες, λαοῖό τ' ἀπ' ἄλλυ ἄλλον ἴοντο.
14 Οὐδέ πν' ὑβρίζειν σφέας εἴασεν, ἢ κακὰ ῥέζειν·
Τῶν δ' ἕνεκεν νείκεσσεν ὑπερμενέας βασιλῆας.
15 Μή πως ἅπτεσθε Χριστῶν μου, ἀλλ' ἀπὸ χεῖρας
Ἰσχεσθ', αἰδεσθέντες· ἐμὸς δέ τε μύθος ἐν ὔμμιν
Μάντιας ὑβρίζοι, μηδέ σφιν πῆμα φυτεύοι·
16 Ὡς ὅγ' ὁμοκλήσας ἔπος ἤυδα· αὐτὰρ ἔπειτα
Γαίῃ λιμὸν ἐνῶρσε κακὸν, πύχοντο δὲ λαοί,
Σῖτον ἐπεὶ σφιν ὄλεσσε κ' ἄλφιτα μυελὸν ἀνδρῶν,
Ἄρτον τε βεστέοιο μέγ' ἔρμα μένος τε βίοιο.
17 Ἀνέρα ᾧ προὔπεμψεν ὁδὸν σφιν ἑτοιμάσασθαι,
Δῖον Ἰωσηφον, τόν τ' ἀνδράσι πλεδαποῖσι
Δμῳὸν ἔμμεναι περνάντες, ἐλεύθερον ἦμαρ ἀπηύρων.
18 Τὸν ᾧ πόδας δήσαντες, ἀεικελίῃσι πέδῃσι
Σχέτλιοι ἔδλαψαν· χαλεπὸς δέ ἑ δεσμὸς ἐδάμνα,
Ὀξείης τ' ὀδυνῃσι φρένας ἶκε σιδηρος.
19 Ὄφρ' ἔπος ἔμπεδον ἦλθ', ὃ θεοπροπέων ἀγόρευεν,
Οὐδ' ἀτελεύτητον· τότε θέσφατα δ' Ἀθανάτοιο
Ἦλθε λόγος καθαρὸν κ' ἀναίτιον αὐτὸν ἔθηκε.
20 Πέμψεν ἄναξ κήρυκα, λύσε τέ μιν ἐξανέλυσε
Καὶ δεσμῶν, κ' ἄφηκεν ἐλεύθερον ὄρχαμος ἀνδρῶν.
21 Δῶκε δ' οἱ ἀρχὸν ἔμεν, κ' ὀπίσσοπον οἷο δόμοιο,
Κήδεσθαί τε βίης, κ' κήμασιν οἷσιν ἀνάσσειν,

Πάντα

Πάντα μάλ' ὡς ἐθέπην, τῷ τε κράτος ἠ ἐνὶ οἴκῳ.
22 Ὄφρα μὴ ἔ λαὸν ἠγήτορας ἠδὲ μέδοντας
Δήσαι, ἐρυτύσαι θ', ὡς οἱ φίλον ἔπλετο θυμῷ·
Ἀνέρες ἔκ τ' αὐτῶν βουληφόροι ἠδὲ γέροντες
Αἰδοῖοι πινυτίῃ, μὴ δέα πυκνὰ δαεῖεν.
23 Ἦλυθεν Αἴγυπτόν δ' ἱερὸν μένος Ἰσραήλ·
Γῇ ἐνὶ Χαμιαδέων Ἰάκωβός τ' οἰκία ναῖεν.
24 Ἔνθ' ὃν λαὸν ἄεξε, καὶ οἱ μέγα κάρτος ὀφέλλων
Κρείσσονα δυσμενέων μὴ ὑπείοχον ἔμμεν ἔδωκε.
25 Τῶν δέ τε κῆρ ἔτρεψε, μὴ ἐχθοδοπῆσαι ἐφῆκεν
Ὧν λαῷ, θεράποντας ἐοὺς ἀπατηλιά τ' ἔρδειν.
26 Μωσῆά σφιν ἔπεμψε θεικλυτὸν ὃν θεράποντα·
Ἠδ' Ἀαρῶνα φίλον, τὸν ἐλέξατο οἱ ἱερῆα.
27 Οἳ δ' αὐτῶν τέρατά σφισιν ἐν μίσοισιν ἔφηναν,
Πολλά τε θαύματ' ἔρεξαν ἐνὶ Χαμιῇσι γαίῃ.
28 Τῇ δέ τ' ἐνὶ ζόφον ἧκε μελάντερον ἠὺτε πίσσαν,
Ἀχλὺς δ' ἦν ἐριδεννὴ ὅτι χθονί· τοὶ δ' ἐτέλεσσεν
Πάντα μάλ' ὡς ἐκέλευσε, μὴ οὐκ ἀπίθησαν ἐφετμῇ.
29 Ὕδατα δ' εἰς αἷμα τρέψεν, μὴ ἀπώλεσεν ἰχθῦς.
30 Ἔβρυε δὲ χθὼν πᾶσ' ἐλεοδρέπτοις βατράχοισιν·
Οἵ τε σκιρτήσαντες ἀνάκτων δώμαθ' ἵκοντο,
Αὐτῆς μὴ θαλάμους, ὑπερῴά τ' εἰσανέβησαν.
31 Ἦλυθε μυιάων ἀδινάων ἔθνεα πολλὰ
Τῆδ' ὀπιτελλομένου· φθεῖρές τ' ἀνὰ γαῖαν ἅπασαν.
32 Ἀντ' ὄμβριο χάλασαν ἴει καρπῶν ὀλέτειραν,
Τῶνδ' ὀπὶ γῆ τεθρίπλη τε, πυρὸς φλόγα τ' αἰθομένοιο.
33 Τῆσι δ' ἐείσαφύλους αὐτῆς ἔπληξεν ἀλωὰς,
Ἄμπελοι ἔνθα τ' ἔσαν, μὴ συκαῖ τηλεθόωσαι·
Τὰς δ' ἔβαλ' ὑρανόθεν, τάων δέ τε καρπὸν ὄλεσσε,
Δένδρεά θ' ὑψίκομα σφετέρῃ μὴ γαῖαν ἔαξεν.
34 Ὡς ὄγε μῦθον ἔειπεν, ἄφαρ ερατὸς ἄσσε ἦλθεν,
Ἀκρίδες ἀλόμεναι, τεπίγων τ' ἄγρια φῦλα,
Μυρίοι, ὅσσα τε φύλλα μὴ ἄνθεα γίγνεται ὥρῃ.
35 Καθδ' ἔφαγον βοτάνην, ποίην τ' ἐερθήλεα πᾶσαν
Γαίῃ ἐνὶ σφετέρῃ, βρῶσαν δέ τε καρπὸν ἀρούρης.

36 Πρωτό-

36 Πρωτόγονα ξύμπαντα κατέκλανε τῶνδ' ἐνὶ γαίῃ,
Ἄργματά τε σφετέρης ἀδροτῆτός τε θένεός τε.
37 Ἐκ δ' ἄγαν οὐ λαὸν, τοὶ δ' ἐξελθόντες ἔδυσαν
Πλειοτέρῃ σιὺ χειρὶ, καὶ ἐκ Νειλωΐδος ἄπης
Ἄργυρον ὄτριχόωντο ἅλις χρυσόν τε φέροντες·
Οὐδ' ἄρα πις φύλοισιν ἐνὶ σφετέροισιν ἄκικυς,
Οὔτ' ἀλαπαδνὸς ἔην, πᾶσιν δὲ μάλ' ἔμπεδος ἀλκή.
38 Οὐδέ τι ἦν πένθος Νειλωΐδα γαῖαν ἴκανεν,
Οὐδέ γὸ Αἰγυπτίοισιν ἄχος ἠλύετ' ἐξανιόντων·
Γήθησαν δέ τε θυμῷ, ἐπεὶ σφεας δείδισαν αὐτῶς.
39 Κυάνεον ὑ νέφος σκέπας ἔμμβαλε ἐξεπέτασσε,
Λαμπέμμεναί τ' ἀνὰ νύκλα πυρὸς σέλας αἰθομένοιο.
40 Οἱ μὲ δὴτ' αἴτεον, ὃ δ' ἐξ ἄλσος ὄρτυγας ἧκεν·
Οὐρανίου τε ἄλις σφιν ἀπ' αἰθέρος ἄρτον ἔδωκε.
41 Πέτρλιν μὲν τ' ἀνέῳξ', ἐκ δ' ἔσυτο νήχυτον ὕδωρ,
Διψάδι δ' ἐν γαίῃ νάεν, ὡς ποταμοῖο ῥέεθρα,
Θαῦμα ἰδεῖν, ἵνα μή τι ποτὲ ὄπιδευέες ὦσι.
42 Καὶ γὸ ἱαποχεαίης ἱερῆς μεμνήσκετο θυμῷ,
Τλῶ πάλαι Ἀβρααμιῳ ὑπέσχετο ᾧ θεράποντι.
43 Ὡς ἐὸν ἔξαγε λαὸν ἐϋφροσύνῃσι χαρέντα·
Οὓς καὶ ἐλέξατο, ξύσατ' ἐπιθομένους μάλ' ὀδοῖο,
Οἱ δέ τ' ἀγαλλόμενοι, καὶ ἀοιδιόωντες ἔδυσαν.
44 Τοῖσι ὃ καὶ χώρας ἐθνέων καὶ γαῖαν ὄπασσε·
Λαῶν ἀλλοδαπῶν τε ἀρέρας, πόνά τ' ἔργα,
Ἀλλότριον κάματόν τ' ἐχέμεν σφι κλῆρον ἔδωκεν.
45 Ὄφρα φυλάξαιεν τὰ ἃ θέσφατα, ὡς ἐπέτελλε,
Καὶ θεσμοῖσιν ἑοῖσι πιθοίατο. Κλεῖτ' Ἀνακλα.

Ψαλ. ρς'. 106.

1 Κλεῖτ' Ἀνακλ', ἐπεὶ ἀγαθὸς καὶ μείλιχός ὄτιν,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ὔποτ' ὄλωλε.
2 Τίς κρατερὰ κλυτά τ' ἔργα λέγειν δυάτ' Ἀθανάτοιο;
Τίς δ' ἔὸν αἶνον ἄπασλα διειπεῖν, καὶ πλέος εὐρύ;
3 Ὄλβιοι, εὐδικίην οἵσιν φίλον ὄτι φυλάσσειν,
Οἵσίν τ' εὐνομίη αἰεὶ ὥς κεν μέμηλε.

4 Μνῆσαι

4 Μνῆσαι ἐμεῖο, Ἄναξ, ἵνα τοι κεχαρισμένος εἶην,
Ὡς λαός σευ, ὅν τε φιλοφρονέων ἀγαπάζεις·
Καί μοι ἐπίσκοπος ἐλθὲ, καὶ εἴσιδε, καί με σάωσον.
5 Ὄφρα τεοῖσιν ἐπαύρω ἅμ' ἐκλεκτοῖσιν ἑάων,
Καὶ λαοῖο τεοῖο ἐυφροσύνησιν ἰανθῶ,
Κλήρῳ τ' ἴσα τεῷ μοι ὑπέρτερον οὐχ ἕηται.
6 Ἡμεῖς ἡμετέροις σὺν πατράσιν ἠλιτόμεσθα,
Ἄϊσυλα πολλ' ἔρδοντες ἀταθαλίῃσι νόοιο.
7 Οἱ πατέρες τεὰ θαύματ' ἐνὶ φρεσὶν ἐκ ἐνόησαν,
Οἷά τε μέρμερα ῥέξας ἐν Αἰγύπτῳ πολυπύρῳ·
Οὐδὲ τεῆς εὐεργεσίης μνήσαντ' ἐνὶ θυμῷ
Πολλῆς, ὡς τέ σφεας ἐλέησας· παρ' δὲ θαλάσσῃ
Οὐ κλύον, ἀλλ' ἐρέθιζον, ἐρυθραίῃ δὲ θαλάσσῃ.
8 Ἀλλὰ κ ὣς ὅ σφεας ἐῤῥύσατο, κ ἐσάωσεν
Οὕ ἕνεκ' ὀνόματος, κ ἵν' ὃν δέος ἐκ ἀλαπαδνὸν
Καὶ κράτος ἀμφαδὰ πᾶσιν ἀείγνωτόν τε πᾐῇσιν.
9 Ἀλλά γ' ἐρυθραίην κρατερῶς ἐνέπιπτε θάλασσαν·
Ἡ δὲ δ' ὑποδδείσασα φύγε, χέτο δ' ἄπαστον ὕδωρ
Ξηραντέν· πόντος δὲ διετμάγη ἔνθα κ ἔνθα.
Οἱ μὲν τ' ἦν ἀφὶ βένθε' ἁλὸς κίον ἀτρυγέτοιο,
Ὡς ἀφὶ δηρὰ γαῖαν ἐῇ ὑπ' ἀμύμονι πομπῇ.
10 Τὼς δ' ἐκ δυσμενέων ἀνδρῶν ἐῤῥύσατο χειρός·
Καὶ δηίων χειρός τε κ ὕβεος ἐξανέλυσε.
11 Δηίους κῦμ' ὑπέρεσε, κάλυψέν τ' οἶδμα θαλάσσης·
Οὔτις τῶν δ' ἐλέλειπτ', οὔτ' ἄγγελος ὑπονέεσθαι,
Ἀλλ' ὀπόλωλεν ἕκαστος, ἐπεὶ πὶν ἅλμυρὸν ὕδωρ.
12 Τόφρα πίσυνοι ἐπέεσσιν ἑοῖς, κ ὃν αἶνον ἄεισαν.
13 Οὐ δηρὸν ἔργων δ' αὖ λελασμένοι, ἃ σφιν ἐώργει
Πολλὰ μάλ', ἐκέδασ' ἑῷ βουλαῖ ποπλέγμενοι ἥσυ,
Σχέτλιοι· ὄφρ' οἱ ὀπίσσεφαν σφέας ἤθελον αὐτές·
14 Πείναον δ' ἐν ἐρήμῳ· ἃ τ' ἀ δῆμις, αἰνὰ ποθεῦντες,
Γαστρὶ χαριζόμενοι, καὶ σφέας κακὸν ἵμερος ἧρει·
Οἰοπόλῳ δὲ ἐνὶ χώρῳ ἐπειράσαντο θεοῖο·
15 Οἱ μὲν τ' ἤτεον εἶδαρ, ὃ δὲ χρήσιμον ἔελδεν,
Νοῦσον σφιν δ' ἅμ' ἐνῶρσε κακὴν, ὀλέκοντο δὲ λαοί·

Οὐδὲ

Οὐδὲ μῦθος σφὶν ἄεξε, ἢ μυελὸν, ὅ, τι μενοίνων·
Λεπτότεροι γὰρ ἔσαν, ἢ χέρσονες ἢ τὸ πάρος περ,
Ἠδέ τ' ἀφαυρότεροι, ἢ ἐδητύος ἐκ ἔπαυντο.
16 Καί Μωσῆϊ μέγηραν ἀγασσάμενοι μάλα θυμῷ,
Ἀαρῶνί τ', Ἄναξ ὅν οἱ ἤθελεν ἱερὴν ἔμ).
17 Καὶ τότε δ' αὐτομάτη δεινὸν χάνεν εὐρεῖα χθὼν,
Καδδ' ἔπιεν Δάθανον ὑπέρβιον, ὄρχαμον ἀνδρῶν,
Καὶ ἀγέρωχον ὅμιλον Ἀβιράμοιο κάλυψεν·
Ὡς οἱ μὲ ζώοντες ἔσαν δόμον ἄϊδος εἴσω.
18 Μέσσῳ τῶνδ' ἐν ὁμίλῳ ἐκαίετο θεσπεσιὴς πῦρ·
Σμυχόμενοι δ' ὀλοῇ φλογὶ δηώθησαν ἁλιτροί·
19 Χρύσειον δὲ παρὰ πόδα νείατον Ὡρήβοιο
Πόρπην ἐτεκμήναντο, θεὸν δέ τε ὧς μιν ἔπεσαν,
Ἀζόμμοι εἴδωλον, ὅ, τ' ἐν χοάνοισιν ἔτευξαν.
20 Ὣς οἵγ' εἰδώλοιο βοὸς σφὸν κῦδος ἀμείβον,
Ἀχαύλιν βοὸς, ὃς νέμεται πίειρ' ἄνθεα ποίης.
21 Ἐκλελάθοντο θεοῖο σαωτῆρος σφετέροιο,
Ὅς τε νέον τόσ' ἐώργει ἐνὶ Νειλωΐδι γαίῃ.
22 Θαύματα πολλ' ἔκπαγλα, τά πέρ τ' ἴδε Χαμιὰς αἶα,
Μέρμερα, λοιγά τ' ἔργα ἐρυθραίῳ παρὰ πόντῳ.
23 Φῆ ῥ' ἕν σφεας ὀλέσσειν, εἰ μή μιν ἐλίσσετο Μωσῆς
Ἐδλὸς ἐὸς θεράπων, ὃν ἐλέξατο κὴ πίει πάντων,
Ὅς καί οἱ ἀντιάσας, ἤδη λοιμοῖο παρόντος,
Σβέσσε χόλον, λαοὶ ἵνα μὴ ἅπο πάντες ὄλωνται.
24 Ἀλλά γε πόντα γαῖαν, ἐπήρατον, ὕδωρ ἀρύρης,
Οὐκ ἄλεγον φρεσὶν, ὐδὲ θ' ἑοῖς ἐπέεσσι πίθοντο.
25 Σφῆσι δ' ἐνὶ κλισίῃσιν ἐνείκεον ἀχαλόωντες,
Οὔθ' ἁδὲ π σφιν τῶνδε, κόρος δ' ἔλεν, οἷά τ' ἔχεσκον·
Οὐδέ τ' ἐφημοσύνῃ ἐπιπειθόντ' Ἀθανάτοιο.
26 Τῷ κὴ ἕλω ἐπάειρε αὐτοῖς ἔπι χεῖρα βαρεῖαν,
Ὄφρα σφεας ὀλέσειε λιχεξαίσας ἐν ἐρήμῳ·
27 Τῶνδέ τε παῖδας ὀπίσσω ἐν ἔθνεσιν ἐξανύσειε,
Καὶ λιγὰ γαιάων σκεδάσας σφέας ἔνθα κὴ ἔνθα
Ἐν λαοῖσι πολείη ἀπημίτους μεταναίσας.

28 Ἀλλά

28 Ἀλλά γε Βηλφηγῶρα θεῶν ἄϊσσον ἁπάντων
Ἄζοντ', ἔθνεα ὣς, αὐτῷ τε συνήοροι ἦσαν·
Ἱερά δ' ἔδοντες νεκύων κατατεθνειώτων,
Ἐξ εἰδωλοθύτων συγερμὼ σφισι δαῖτ' ἀλέγυνον.
29 Ὣς οἵ μὲν τ' ἔργοισι νοήμασί τε σφετέροισιν
Αὐτῷ θυμὸν ὄρινον, ὁ δ' ἀσπερχὲς μενέαινεν·
Ἐν δ' ἄρα τοῖσι δέδηεν ἄφαρ κὴ ἀέξετο λοιμός.
30 Ὦρτο δ' ὃ δεινὸς ἀνὴρ, μάλα τε κρατερῶς ἐνεμέσσα,
Αἴχεα πολλ' ὀρέων, φινέης, κὴ πίσατ' ἀλείτας,
Ἡ θέμις, αἶψα, θεὸν δ' ἱλάσκατο τύσδε κατακλάς·
Παύσατο δ' ἰς λοιμοῖο, κακοῖό τε γίνετ' ἐρωή.
31 Ὡς ὃ δικαιότατος δόατ' ἔμμεναι, οἷον ἔρεξεν·
Ἧς δ' δικαιοσύνης μνημήϊον αἰὲν ἔμιμνε,
Καλόν τ' ἔανετ' ἔπειτα κὴ ἐσομένοισι πυθέσθαι,
Ἀλλήκτοις γλυκερῆσι μέμπτερὲς ἤματα πάντα.
32 Ἀλλά γέ μίν τ' ἐξέθηζον ἐφ' ὕδασι νείκεϊ αἰνοῦ·
Ὡς τε κακῶς Μωσῆϊ πέλε σφετέρης ἕνεκ' ἄτης.
33 Θυμοδακὴς γὰ μῦθος, ἐπώτρυναν δέ μιν ὕπτως,
Ὡς καί μίν τ' ἀσύφηλον ἔπος φύγεν ἕρκος ὀδόντων,
Οὐδέ κατ' αἶσαν ἔειπεν, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
34 Ἀλλ' ὅδ' ἔθνεα κεῖνα διαρραίσαντες ὄλεσσαν,
Ἅσσα τ' Ἀναξ κέλετο, κρατερόν τ' ὀπὶ μῦθον ἔτελλε.
35 Ἀλλ' ἐπεὶ ἓν λαοῖσι κὴ ἀλλοδαποῖσι μίγησαν,
Καί σφιν ὁμοιώθησαν, ἰδὲ σφέτερ' ἔμμαθον ἔργα.
36 Τῶν τ' εἰδώλα σέβοντο, θεοὺς ὡς εἰσορόωντες·
Ἅ σφισι τε βρίχος ἰῶ, μεγάλοιό τε πήματος ἀρχή.
37 Ἱερεύσαντο δ' ἔπειτα κακοῖσί τε δαίμοσι τέκνα,
Υἷας θυγατέρας τε, ἀπηνέα θυμὸν ἔχοντες.
38 Ὦ πόποι, οἷον δή νυ χέον τόδ' ἀναίτιον αἷμα,
Αἷμα σφῶν τεκέων, ἅσσ' εἰδώλοισι Χανάνης
Ἱρευον συγερῆσι· παλάσσετο δ' αἵματι γαῖα.
39 Ὡς οἵ μὲν τ' ἔργοισι μιάνθησαν σφετέροισι·
Πολλὰ δέ μιχαϊόωντες ἑοῖσιν ἔνδα κὴ ἔνδα,
Ὡς ὅτε μαχλοσύνῃσι γυνὴ πόσιν ὃν θεραπεύσα
Πολλὰ μεναιγώει, πάντη φοιτῶσά τε δύνει.

40 Τῷ τε καθ' ἓ λαοὺ χόλῳ Ἀθανάτοιο δέδηε·
Κλῆρός θ', ὃν περ ἐλέξαι, ἀπήχθετό οἱ φρεὶ κῆρι.
41 Τὸς δ' ἔα ἀλλοδαπῶν ἀνδρῶν ὑπὸ χερσὶ δαμῆναι,
Ἔθνεσί τε δμῶας δῶκ' ἔμμεναι ἀλομένοισι·
Δυσμενέες δέ σφιων κρείασσε, κὴ κοίρανοι ἦσαν.
42 Ἀνδράσιν ἓν δηΐοισιν ἔλωρ κὴ κύρμα γένοντο,
Οἳ σφεας ὑβείζεσκον, ἐπεὶ κὴ χερσὶ δάμασσαν,
Αἰνῶς τε τεύχεσκον, ὀπαπόμενοι μνίεϊ σφῷ.
43 Τὸς δ' ὄγε πολλάκι ῥύσατ'. ἐπώτρυναν δέ μιν αὐδῆς,
Σφῇ βελῇ ἐρέθοντες· ὁ δ' ἄχνυτο, τοὶ δ' ἔκ καὶ αὐτοὶ
Σφῇσιν ἀταθαλίῃσιν ὑπὸ μόρον ἐσυφέλιχθεν.
44 Τῶν δέ τ' ὀϊζὺν εἶδεν, ὀδυρομένων τ' ὄπ' ἄκουσε.
45 Μνήσατο δ' ἧς ξύνζυγος, ἣν τὸ πρὶν τοῖσιν ἔθηκε,
Τέμενων ὅρκια πιστά. μεταλλήξας δ' ὁ χόλοιο,
Αὖτε μετέστρεψεν, μάλα γὸ νόῳ οἱ ἐλεήμων.
46 Ἀλλά γε δυσμενέας, τοί τέ σφεας πρόσθι πάτησε
Γαῖαν ἐς ἀλλοδαπὴν μεταναστήσαντες ἀπῆγον,
Πάντας ἐπέγναμψεν, τοῖσιν δέ τε οἶκτον ὄρεινεν,
Ὡς σφισιν ἵπποι ὦσι, φίλα φρεσὶ μήδε' ἔχοντες.
47 Ἄμμε σάωσον, Ἄναξ Θεὸς ἡμέων· ἐκ δέ τε λαῶν
Ἀλόξεσσ συνάγειρε κεδαδέντας κατὰ γαῖαν·
Ὄφρα σὸν ἱερὸν οὔνομ' ἀοιδῇσι κλείοντες,
Τερπόμενοί τ' αἴνοισιν ἀγαλλώμεθα σοῖσιν.
48 Αἰνετὸς Ἰσραὴλ Ἄναξ Θεὸς, αἰνετὸς εἴη
Νωλεμὲς ἤματα πάντα δ' ἀλλήκτων γενεάων·
Πᾶς δέ τ' ἐπαυφημήσαι, ὁμοφθόγγῳ πνὶ φωνῇ
Λαὸς ἅμ', Ὠδὴ γένοιτο, λέγων· αἰνεῖτε δ' Ἄνακτα.

Ψαλ. ρζ'. ιν'.

1 Κλείε Ἄνακτ', ἐπεὶ ἀγαθὸς κὴ μείλιχός ὄζιν,
Οὕνεκα μείλιχός ἐς· ἔλεος δέ οἱ οὔποτ' ὄλωλεν.
2 Ἀνέρες ὧδ' εἴπατε, Ἄναξ οἷς ὄζιν ἀρωγὸς,
Οὕστερ ὄγ' ἐξανέλυσε δύης κὴ ὀϊζύος αἰνῆς,
Ῥύσατο δ' ἐκ δηΐων ἀνδρῶν χειρός τε βίης τε.
3 Ἐκ τ' ἄρα γαιάων συλλέξατο παντοδαπάων,

Ὀππόθι

Ὁ πρὸ τοῦ πρὶν ἐκέλευσεν· ἀπ' ἠελίου ἀνίοντος,
Καὶ ἀπὸ δυσμάων ποτὶ ζόφον ἠερόεντα·
Ἐκ βορέω κρυερῆος, καὶ ἐκ νότου ἀργέσταο.
4 Χώρῳ ἐν οἰοπόλῳ πλάγχθεν ἀφ' ὁδὸν ἐρήμην·
Πολλὰ μὲν ἴσην ἐμόγησαν ἀλώμενοι ἔνθα καὶ ἔνθα,
Οὐδ' ἔπι πω πόλιν οὖρον, ἐν ᾗ σφισι ναιέμεν εἴη.
5 (Τοῖοι ἀλῆται εἰσιν ὅπη χθονὶ) τεῖρεν ἄρα σφεας
Γαστέρα μὲν λιμός, δίψῃ δ' ὑπὸ γυῖα λέλυντο·
Ἐκ δ' ἔλιπε ψυχὴ, ὀλίγος δ' ἔπι θυμὸς ἐνῆεν.
6 Τόφρα μὲν Ἀθανάτων κρατερῇ δεδμημένοι ἄτῃ
Λίσσονθ' ἅδ' ἐβόησαν, ὁ δ' ἐκ κακότητος ἔλυσε.
7 Τοῖς δ' ὁδὸν ἡγεμόνευε, καὶ ἔπλετο πομπὸς ἀπήμων,
Τιὼ δ' ἰθεῖαν ἄγεν, πόλιν ὅππόθι ναιέμεν εἴη.
8 Κλειόντων δ' ἄρα τοίγε ἱερὸν μένος Ἀθανάτοιο
Ἦν δὲ μεταλλήσῃ, καὶ ἃ θαύματα, μέρμερά τ' ἔργα,
Ὅσσα βροτοῖσιν ἔρεξε, τά τ' εἴσιδε φῦλ' ἀνθρώπων.
9 Οὕνεκα θυμὸν ἄδην κόρεσεν κεχρημένον ἀνδρὸς,
Δῶκε δ' οἷ ὅσσ' ἔθελεν· πεινῶντα δὲ πλῆσεν ἐάων.
10 Οἳ δὲ κακῶς αὐχμεῦσιν, ἐνὶ ζόφῳ ἠερόεντι
Ἐζόμενοι, ἅδε σκιῇ ἐν θανάτοιο μελαίνῃ,
Δεσμοῖσι δμηθέντες ὀϊζυρῷ ἅδε σιδήρῳ·
11 Ὅτ' ἰθεῖ ἀλίτοντο ἐρεσμὰς, ὅδ' ἐτέλεσσαν,
Βουλὴν δ' Ὑψίστου καὶ θέσφατα πύκνα ἀθέριζον·
12 Τῷ τέ σφεας καμάτῳ κραδίην καὶ θυμὸν ἐδάμνα·
Ἔν δ' ἔπεσον κακότητι, καὶ οὐκ ὀπιταίξεσθον ἔτι.
13 Τόφρα μὲν Ἀθάνατον κρατερῇ δεδμημένοι ἄτῃ
Λίσσονθ' ἅδ' ἐβόησαν, ὁ δ' ἐκ κακότητος ἔλυσε.
14 Τοὺς δ' ἄρ' ὅγ' ἐκ ζόφου ἦγε, καὶ ἀχλὺν ἐξ ἐρεβεννῆς·
Οὐδ' ἔπι τοὺς θανάτοιο ἔχε σκιὴ, οὐδέ τι δεσμά·
Ἀλλ' ὁ τὰ μὲν ῥῆξεν, τοὺς δ' εἰρέρυ ἐξανέλυσε.
15 Κλειόντων δ' ἄρα τοίγε ἱερὸν μένος Ἀθανάτοιο
Ἦν δὲ μεταλλήσῃ, καὶ ἃ θαύματα, μέρμερά τ' ἔργα,
Ὅσσα βροτοῖσιν ἔρεξε, τά τ' εἴσιδε φῦλ' ἀνθρώπων.
16 Χαλκείας γὰρ ἔρηξε πύλας, καὶ ἔαῖσεν ὀχῆας,
Ῥεῖα διέτμηξέν τε, σιδηρείους περ ἐόντας.

17 Ἦ μάλ' ὀλίγασον κακὸν ἄφρονες ἀνέρες αὖτως,
Νήπιοι, οἷά τ' ἔρεξαν, ὑπερβασίης ἕνεκα σφῆς,
Σφῇσί τ' ἀταθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχυσιν.
18 Οὐδέ σφιας σίτοιο φέρεν φρένας ἵμερος αἱρεῖ,
Δαῖτα δ' παντοίῃ βρώμῃ τ' ἀπανήνατο θυμός.
Ὡς οἱ μέν τ' ἄκμηνοι ἐδητύος ἠδὲ ποτῆτος,
Σχέτλιοι, ἄγχι παρειᾶσιν θανάτοιο πύλῃσι.
19 Τόφρα μὲν Ἀθάνατον κρατερῇ δεδμημένοι ἄτῃ
Λίσοντ', ἠδ' ἔδοσαν, ὁ δ' ἐκ κακότητος ἔλυσε.
20 Τῷδ' ἅμα μῦθος ἔην, νέσσιο δ' γίνετ' ἐρωή·
Τὲς δ' ἰησάμενος σφιν ἀδευκέα πότμον ἄμυνε.
21 Κλειόλλων δ' ἄρα τοίγ' ἱερὸν μένος Ἀθανάτοιο
Ἦν ἀξὶ μειλιχίην, ἠὲ θαύματα, μέρμερά τ' ἔργα,
Ὅσσα βροτοῖσιν ἔρεξε, τά τ' εἰσιδὲ φῦλ' ἀνθρώπων.
22 Αὐτῷ δ' ἱερὰ καλὰ, χάειν μενοεικέα δόντες,
Ἐρδόντων· ἐὰ ἔργα τ' ἐϋφροσύνῃσι νόοιο,
Σὺν μεγάλῳ τ' ἀλαλητῷ ἀοιδῇσίν τε λιγόντων.
23 Οἳ ἅλαδ' ἐν νήεσσι κατίασι γλαφυρῇσιν,
Ἠδὲ κατὰ φρῆξιν πλείους ὅτε οἶνοπα πόντον,
Ψυχὰς παρθέμενοι, περόωσί τε πηλὸν ἐφ' ὑγρὸν
Πλαζόμενοι, ἦ γάρ σφι θαλάσσια ἔργα μέμηλεν·
24 Οἳ μέν τ' Ἀθανάτου ἔργ' ὀφθαλμοῖσιν ὁρῶνται,
Θαύματα μυρί' ἁλός τ' ἐνὶ βένθεσιν ἀτρυγέτοιο.
25 Τοῦ γὰρ ἐφημοσύνῃ δεινὴ ἀνέμοιο θύελλα
Ὠρώρει καθ' πόντον, ἀείρει δέ τε κύματα μακρὰ
Ἴσ' ὄρεσιν κορυφῆται, ἀποπλύνει δ' ἁλὸς ἄχνῃ,
Λαίλαπι θεσπεσίῃ, σμαραγεῖ δ' κυκώμενον ὕδωρ.
26 Καὶ τοτὲ μέν τ' ἀνέβησαν ἐς οὐρανὸν ἀστερόεντα,
Καὶ τοτὲ δ' αὖ κατέβησαν ἐς ὠκεανὸν βαθυδίνην,
Τῷδ' ἐνὶ σὺρεῖ κόλπῳ ὀϊόμενοι θανέεσθαι
Τήκεται ἔν σφίσι θυμὸς ἄλῃ κὴ ὀϊζύϊ λυγρῇ.
27 Ἀνέρες ὥς τ' οἶνῳ βεβαρηότες, ἔνθα κὴ ἔνθα
Νευσάζοντες ὄλισθον, ἀμηχανίη δ' ἔχε θυμόν·
Πλαγχοσύνῃ δ' κακῇ φρένας ἐκπεπαταγμένοι εἰσὶ,
Δειδίότες, τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται.
28 Τόφρα μὲν Ἀθάναλον κρατερῇ δεδμημένοι ἄτῃ Λίσοντ',

Λίασντ', ἠδ' ἐδόησαν, ὁ δ' ἐκ κακότητος ἔλυσε.
29 Καὶ τάχα νηνεμίην στόρεσεν μεγακήτεα πόντου,
Λαίλαπά τ' ἰαχόων, τροφίεντά τε κύματα παύων.
30 Οἱ δ' ὅτε κοιμηθέν τ' ἄνεμοι, μείδησέ τε πόντος
Ἀγλαίῃ, λευκὴ δ' ὅπιδ' ἔδρομε ἀμφὶ γαλήνη,
Γήθησαν, κ' πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη·
Καί λιμένα τρίλλισον ἐὴν ὑπ' ἀμύμονι πομπῇ
Ἶξον, ἵν' ἀασσόν σφιν ἐείσατο ὁρμηθῆναι.
31 Κλειόντων δ' ἄρα τοί γ' ἱερὸν μένος Ἀθανάτοιο
Ἦν ἀλφὼ μειλιχίλω, κ' ἃ θαύματα, μέρμερά τ' ἔργα,
Ὅσσα βροτοῖσιν ἔρεξε, τά τ' εἴσιδε φύλ' ἀνθρώπων.
32 Λαῶν δ' ἐν μεγάλῳ κυδαινόντων μιν ὁμίλῳ
Αἰνειώντων τ' ἀγορῇ, βυλῇ τ' ἔνι δημογερόντων.
33 Ἦ τὸ μὲν ἐφθάδειν ἴσαν ποταμοὺς μύρον ὑδρηλοῦ,
Ἔνθ' ὄγ' ἐρημαίὸν τε πίδον, κ' δάσκιον ὕλην,
Καὶ πηγὰς ὑδάτων πολυδίψιον αἶαν ἔθηκε.
34 Χώρην πυροφόρον, τῇ κ' μάλα πὰρ ὕδατος ὄχθας,
Θῆκε λίην λυσῶσαν, χάειν οἱ ἅπο πᾶσαν ὀλέσσας,
Τῶν δ' ἀταθαλίην, οἱ πέρ μιν ναιετάουσιν.
35 Ὕλην αὖ στέφει ἐς λίμνην, κ' διψάδα γαῖαν
Ἐς πηγὰς ποταμοὺς, κ' πόσια ποιήεντα.
36 Ἀνέρας ἔνθ' ἵζει μετανάσσας τὸ πρὶν ἐόντας,
Τοὺς τε κακὴ βέβρωτις ὀπὶ χθόνα δῖαν ἔλασσε,
Λιμὸν ὁμῶ κ' ἄλλην καταπαύων, ὄφρά τ' ἔχωσιν
Οἰκία, καί σφιν ἔῃ εὖ ναιόμενον πολίεθρον.
37 Ὅφρ' ἀγροὺς σπείρωσι, φυτεύωσίν τ' ἀλωάς,
Αἵ σφιν ἀεξόμεναι ἄλις ὥρια πάντα φέρωσιν,
Καρποῖσι γλυκερῇσιν ἐπηετανὸν γανόωσαι.
38 Ὡς οἵ γ' ἄλλοτε μὲν τ' ἀρετῶσιν, ὁ δ' ὄλβον ὀπάζει·
Τοὺς κ' ὀφέλλοντος μάλα μυρίοι, ὅσσα τε φύλλα
Γίνονθ', ἀμφότερον δ', αὐτοί τε, κτήνεά τ' αὐτῶν,
Ἵπποι δ', εἰλίποδές τε βόες, κ' ἴφια μῆλα.
39 Ἄλλοτε δ' αὖ μινύθουσιν, ἀφαυρότεροί τε πέλονται,
Ὕβρει, κ' κακότητι, δύῃ τ' ἀρημένοι αἰνῇ.
40 Ἀρχοῖσιν λώβην τε κακὴν κ' ὀνείδεα χεῦε.

Τὺς δ' ἄλλων ἀπάνευθε βροτῶν ἐφέηκεν ἀλᾶσθαι,
Χώρῳ ἐν οἰοπόλῳ, ὄθι τ' ἀ πάτος ἔς' ἀνθρώπων.
41 Τειρομένους δ' ἐσάωσε, καὶ ὑψόσ' ἄειρε πενιχρούς,
Ἐκ τ' ἀχρημοσύνης, καὶ ὀϊζύος, ἣ περὶ ἔχεσκε·
Φρήτρας σφιν, καὶ φῦλα διδοὺς, ὡς πώεα μήλων.
42 Ἧ ἑα τάδ' ὄψονται, καὶ χαιρήσουσι δίκαιοι.
Καί κεν ἀταθαλίη ξύμπασ' ἀκέουσα γένοιτο.
43 Ὅς πεπνυμένος ὄσσιν, ἐνὶ φρεσὶ ταῦτα φυλάξει,
Τοῖσιν δ' οἵπερ ἔασιν, ἕκαστός τ' Ἀθανάτοια
Εἴσετ' ἐνκείλια, ἐυεργεσίας τε νοήσει.

Ψαλ. ρή'. ιοθ.

1 Ἡ Μάλα μοι κραδίη, Θεὸς, ἐν σήθεσσιν ἑτοίμη·
Κύδεϊ μὲν γλώσσῃ τε τὸν κλυτὸν αἶνον ἀείσω.
2 Εἶδ' ἄγετ', ἐγρήγορθε, μελίφρονα γῆρυν ἰεῖσαι,
Νάβλη, καὶ κιθάρη, γλυκερὴν δ' ἐνλίσετε μολπήν·
Ἐγρήσομαί κεν αὐτὸς ἄμ' ἠοῖ φαινομένῳφι.
3 Ἀθάνατε, κλείω σε μέσῳ λαῶν ἐν ὁμίλῳ·
Κλείω σ' ἐν λαοῖσιν, ἐν ἔθνεσιν αἶνον ἀείσω.
4 Οὕνεκα μειλιχίη σευ ἀθέσφατος, ὐρανομήκης·
Σὴ δέ τ' ἀληθείη καὶ ἐς αἰθέρα δῖαν ἱκάνει·
5 Ὕψι, Θεός, σ' ἀνάειρ' ὑπὲρ ὐρανὸν ἀστερόεντα·
Καὶ κύδος σὸν πᾶσαν ὑπὲρ χθόνα πτυχὸς ἐτείρας.
6 Ὡς τε κακῶν λύσις ἠδὲ φόως αὐτοῖσι γένοιτο,
Οἵ σοι φίλτατοί εἰσι μὴ φρεσὶ τέγγεα καὶ σῇ·
Ἡμέας δεξιτερῇφι σάωσον, καὶ ἄκουσον ἐμεῖο.
7 Ἱερῷ εἰνὶ θρόνῳ πόλλ' εἶπε Θεὸς καὶ ὑπέστη·
Χαιρήσω δέ τ' ἐγὼ, Σικίμων δ' ἀποδάσομαι ἀγρὺς,
Καὶ Χαμαιτρήσω βαθὺ ἄγκεα Σοκχώθοιο.
8 Ἔστιν ἐμὸς Γαλάαδος, ἐμὸς δέ τε ὄζος Μανασσῆς·
Ἄλκαρ ἐμῆς κεφαλῆς ἱερὴ ἵς Ἐφραΐμοιο·
Θεσμὸς ἐδὲ θέμισας ἐμοὶ σκηπτοῦχος Ἰούδας
Ἀμφιέπει, τῷδ' ὁ φῦλον βασιλεύτερον ἄλλο.
9 Μωάβου ἦ λέβης, ὅτε μοι ποδάνιπτρα μέμηλε,
Γίνετ'· Ἰδουμαίην ἦ πέδιλ' ὑπὸ ποσσὶν ἐμοῖσι
Ῥίψω, ὀρρ' ἀνέλοιθ', ἣ τ' ἀμφιπόλων θέμις ὄζει·

Καὶ

Καὶ σὺ Παλαισίνη γαιάων ἔξοχα πασέων
Χαῖρέ τε κ) ἀλάλαζε, κ) εὔχεό μοι ὑποείκειν.
10 Τίς πόλιν εἰς ἄξεικτον ἀγινέμψαί μ' ἐθελήσει;
Τίς μοι Ἰδυμαίλιν εἴσω ὁδὸν ἡγεμονεύσει;
11 Οὐκ ἄρα σὺ, πρὶν εἰ, Θεὸς, ἄμμε πρὶν ἐσυφέλιξας;
Οὐ σὺ, Θεὸς, στρατιῇσι μετ' ἀγὸς ἔσσεαι ἡμετέροισι;
12 Σὺ στρατὸς ἔλθ' ἡμῖν κ) ἀμυίπορ· ἄμμε δὲ ῥῦσαι
Ἐκ κακότητος, ἐπεὶ ἄλιον βροτῶ ἀνέρος ἄλκαρ.
13 Ἡ κεν καρτερὰ ἔργα Θεῷ ἔξαμεν ἀρωγῇ
Ῥεῖ· ὁ γὰ ἀντιβίους ἡμέων ὑπὸ ποσὶ πατήσει.

Ψαλ. ρϑ'. 109.

1 ΜΗ'πω σιωπήσαις, Θεὸς, ὅς τί μοι αἰνετὸς αἰεί,
Μηδ' ἀκέων τλαίης, ὡς ἐκ ἀΐοντι ἐοικώς.
2 Οὕνεκα λαβραγόραι ἐμὲ κερτομέουσιν ἀλιτροὶ,
Δυσεβέων ὅπι μοὶ ἀνέῳκται τε στόματ' ἀνδρῶν,
Οἷσι δολοῤῥαφίη τε φίλη φρεσὶ· οἱ κάθ' ἐμεῖο
Γλώσσῃ κερδαλέῃ τὰ ψεύδεα μυθήσαντο.
3 Ἀμφὶ δέ μ' οὔατ' ἔβαλλον ἀταρτηροῖς ἐπέεσσιν,
Ἔχθρ' ἀγορεύοντες· κ) ἀναιτίῳ ἔφι μάχοντο.
4 Δυσμενέες μοι ἔασι, φίλα φρονέοντί περ ἔμπης,
Καὶ φιλότητος ἐμῆς μοι ἀεικέα δῶκαν ἀμοιβὴν,
Σχέτλιοι· αὐτὰρ ἐγὼ σφισιν εὔχομαι ὄλβια πάντα.
5 Καὶ κακὸν ἀντ' ἀγαθοῖο κακὴν μοι ἔπεσαν ἀμοιβήν.
Ἔχθος τ' ἀντὶ φιλοφροσύνης μοι μισὸν ὄρεξαν.
6 Ἄρχόν οἱ ἄνδρα κακὸν θείης· ἐπὶ δεξιὰ δ' αὐτῷ
Παρστάτη Σατανᾶς, ὀλοφώια δήνεα εἰδώς.
7 Καδδ' αὐτὸν δικάσειε δικαστόλος, (ὅς τε θέμιστας
Ἐκ Θεοῦ εἴρυται,) ὅταν οἱ ἔπι νεῖκος ὀρώρῃ·
Τῶδε κ) εὐχομένοιο λιτὴ ἀλίτημα γένοιτο.
8 Ὠκύμορος ἦ πέλοιτο, μινυνθάδιός τέ οἱ αἰών·
Καὶ μοῖραν τιμὴν δ' ἕτερος λάβοι, ὅς κε λάχῃσι,
Τὴν αὐτὸς πάρος εἶχ', ὁ δ' μηκέτ' ὀπίσσω ἔῃ·
9 Παῖδάς τ' ὀρφανικὰς λείποι, χήρην τε γυναῖκα.
10 Ἥμας δ' ὀρφανικὸν παγαφίλητα τέκνα πιθείη,

Παῖδες ἑοὶ πῶχοί τ' αἰεὶ ϗ ἀλήμονες ἔιεν·
Καὶ ἐπεὶ ὗν ἐδέων, καὶ δηΐων τ' ἐξεῖρπον ἐρήμων,
Πλαγχθεῖεν χ^τ δῆμον, ἀναγκαίη δέ τ' ἐπείγοι,
Αἰτίζειν ἀκόλως, αἴ κέν τις πύργον ὀρέξῃ.

11 Πάντα δ' ἐὸν βίοτον καταμάρψαι κερδαλεόφρων,
Τρώκτης, ὡς ἀλίσι λίνα ἀλόντα πανάγρῃ·
Κτήματα δ', ὅσα πὲρ οἱ καμάτῳ ϗ χερσὶν ἄγειρεν,
Ἀνδράσιν ἀλλοδαποῖσιν ἕλωρ ϗ κύρμα γένοιτο,
Οἵ τ' ἀπὸ χθαμαλῆς ἕλωνται, ἀπερείσωσί τ' ἀρούρας.

12 Μήπις ἑ οὖ ἔρξαι, μήτε σοφὸν ἐλέσθαι·
Μήθ' ἵλαον ἔοι οἷς ὀργανικοῖσι τέκεσσι.

13 Πάγχυ δέ μιν ξαίσει κακὴ βιότοιο τελευτή·
Τῷδε ϗ ἀσπέρμως γενεὴ σοφθέλυμνος ὄλοιτο,
Ὡς ϗ μηδ' ὄνομ' αὐτῆς ἐν ἀνθρώποισι λίπηται,
Οἳ ἔο πεδνειῶτος ἄφαρ τ' ἄγχιστα γένωνται.

14 Ὅ, τι δ' ἑοὶ πατέρες ποτ' ὀταδάλλοντες ἔρεξαν,
Τῶδέ τ' Ἄναξ μεμνέῳτο ϗ ὅ, τι περ ἤλιτε μήτηρ,
Μήποτ' ἀϊῤῥωθείη, ἀτὰρ μῆνις ἥματα πάντα,
Ὡς εἰ ἀνηλείποισι τύποις γεγραμμένον εἴη.

15 Ἀθανάτῳ ϳ παρεῖεν, ὁ δ' ὀφθαλμοῖσιν ὁρῴτο
Συνεχὲς, ὡς μνήμην σφιν ὑπὸ χθονὸς αἰὲν ὀλέσσῃ.

16 Ὅτι οἱ οἶκος ὄλωλε, ϗ ἐ μιμνήσκεσθαι πάμπαν
Εὐεργός τ' ἔμμεναι, ἀλλ' ἐκλάθεσθαι φρεσὶν ᾗσι.
Τρύχεσκεν ϳ κακῶς κεχρημένον ἄνδρα σοφίκτην,
Πτωχόν θ' ὑπείξεσκε βίῃ ϗ κάρτεϊ χειρῶν,
Ὡς ἄνδρα κτάνῃ, ᾧ τε κατεκλάθη φίλον ἦτορ.

17 Ἀλλ' ἐπεὶ οἱ φίλη ἦεν ἐπαρή τ' ἀμμορίη τε,
Ἴξεται ἐν αὐτόν· καὶ ἐπεὶ μοῖράν τε ϗ ὄλεθρον
Οὗ οἱ ἀνὰ σῆμ' ἔχειν ὀπιώδανεν, ἐδέ τι ἄνδρας
Ἔσθλ' ἀγορεύεμμαι, τάδε τ' ἐν ἐκὰς ἔσεται αὐτῆς.

18 Ἀρήν τ' ἀμμορίην τε ἐπεὶ ὡς εἰμαρτὰ ἔσαι,
Οὕτω ϗ ἄδην οἱ ἄτη, ἢ πάντας ἀάται,
Ὕδωρ ὡς ῥέοι ἐς χολάδας ϗ γαστέρα μέσσην,
Ἠύτε ὑγρὸν ἔλαιον ἐς ὀστέα τ' ἄχει περήσας,
Ἠκὰ οἱ ἐγχύμενον, δυσὶ δέ τε μυελὸν εἴσω.

19 Εἴη

19 Εἴη οἱ ὡς λώπη, φαρέος δ' ὃ μιν ἀμφικαλύψαι·
Ζωσήρ δ' ὡς, ὅν τε ζώσαιτό κεν ἤματα πάντα.
20 Τόνδε παρ' Ἀθανάτοιο ἐοικότα μιδὸν ἄερσιντο,
Οἵ μοι δυσμενέες κὴ ἀνάρσιοι ἄνδρες ἔασιν,
Οἳ δέ τέ μοι κακὰ μησάαθμοι, βιότοιο μέγηραν.
21 Αὐτὰρ, Ἄναξ, σύ γέ μοι, σύ γε, Ἀθάνατ', ἔρδε παρεστὰς,
Σῆ ἕνεκ' ὀνόμαθ'· ἑῦσαι δέ με ἐκ κακότηθ',
Ἐθλὸς ἐπεὶ ἔλεός σευ, ἐγκείη τ' ἐρατεινή.
22 Καὶ γὰρ ἐγὼ δειλὸς, κεχρημένος ἠδὲ πενιχρός·
Οὐτάμβιον δέ μοι ἄχνυτ' ἐνὶ στήθεσι φίλον κῆρ.
23 Ὡς σκιὴ ἀΐσσω, ὅτε ξίμφα παρέρχεται ἦδη·
Ἀκεὶς δ' ὣς δεδόνημαι, ἀλώμενος ἔνδα κὴ ἔνδα.
24 Πείνη μοι μάλα γῦα βαρύνεται, ἠδὲ κιχάνει
Δίψα τε κὴ λιμὸς, βλάζεται δέ τε γένατ' ἰόντι·
Σάρκες δ' φθινύθουσιν, ἐπεί σφιν δημὸς ὄλωλε.
25 Τοῖσι δ' ἐγὼ λώβη τε κακὴ, κὴ ἐπτόλιός εἰμι,
Οἳ νευσάζοντες κεφαλῇ μοι ἐρεμνόωνται.
26 Ἀλλ' ἐπάμυνον, Ἄναξ ὁ Θεός μου, καί με σάωσον
Σεῦ κτ' μειλιχίην, ὅτι τοι νόθ' ἔς' ἐλεήμων.
27 Πάντες ἵν' εὖ γνώωσιν, ὃ τῶδ' ἐπὸ σεῖο τέτυκται,
Ἠδὲ σὺ χειρὶ τεῇ τόδε, Ἀθάνατ', ἔργον ἔρεξας.
28 Τοίδε καταρέωντο, σὺ δ' ὄλβια πάντ' ἀγορεύοις·
Τοῖσι δ' ἀνισαμένοις λώβη κακὴ ἐλέγχεά τ' εἴη·
Γηθήσαιμι δ' ἐγὼ, θεράπων σεῦ ὃς εὔχομαι εἶ).
29 Οἳ κακά μοι φρονέοσ', αἰδῶ ὀπηδήσειεν ἐοῦσαν,
Αἶσχεΐ τ' ἀμφὶ σφῷ κεκαλυμμένοι ἠΰτε χλαίνῃ.
30 Κλείω ἀνὰ στόμ' ἔχων ἱερὸν μένθ' Ἀθανάτοιο,
Αἰνήσω τε μάλα μεζάλως· ἀνδρῶν ἐν ὁμίλῳ,
Μέσῃ τ' ἐν λαῶν πληθύϊ ἐὸν αἶνον ἀείσω.
31 Οὕνεκεν εἰνὶ δίκῃσι παείσεται ἀνδρὶ πενιχρῷ,
Τῷ δ' ὀπὶ δέξιός ὅζιν, ἀρῆς ἀπὸ λοιγὸν ἀμῦναι,
Τῶν τε βίην, οἵτε σκολιὰς κείνοισι δέμισας,
Καί ἑ δικάζωσιν, μεμάασί τε θυμὸν ὀλέσται.

Ψαλ.

Εἴη

Ψαλ. ρί'. μο.

1 Ὦ δ' ἀγόρευεν Ἄναξ πῷ Ἀνακτί μου, εἶπέ τε μῦθον,
Εἶδ' ἄγε νῶϊ παρ' ἐμοὶ ὄπι δεξιτερὴφι κάθισσο,
Ἕως ἂν δυσμενέας σοι ὑπὸ θρῆνυ ποσὶ θείω.
2 Σκῆπτρόν σευ δυώαμίν τε Θεὸς νύ κεν ἐκτανύσειε
Τῆλε μάλ' ἐκ Σιῶνος· ἔπ' ἔχματα πείρατα γαίης·
Ἔσσεαι ἔν ἐχθροῖσι σὺ κοίρανος εἰνὶ μέσοισι.
3 Λαός σοι ὑποείξουσιν μάλα πρόφρονι θυμῷ,
Ἄσμενοι, ἤματι τῷ, ὅτε τοι δέπας ἐκ ἀλαπαδνὸν,
Καὶ κρατὸς ἀμφιχυθεὶς, ἱερὸν δέ τε κῆλον ὀπηδεῖ·
Σοὶ δ' τ' ἀπειρέσιος γόνος, ὡς ῥαθάμιγγες ἔρσης,
Μυείαι, αἵ τ' ἦος ἐκ μαζέρος ἠερόφοιτοι
Οὐρανόθεν πίπτουσιν ἐπ' ἄνδεσιν εἰαεινοῖσιν.
4 Εἶπεν Ἄναξ κὴ ὄμοσσε, κὴ ὐ νόος ἐτρέπετ' αὐτῷ,
Ἦ σὺ μὲν ἱρεὺς ἔσσι διαμπερὲς ἤματα πάντα,
Ἤματα πάνδ' ἱερεὺς τάξιν κάτα Μελχισεδήκου.
5 Σοὶ ὄπι δεξιόθεν σεῦ κὴ βασιλῆας ἀράξει
Ἀδάματος, πληγῇ τε βαλὼν κὴ χερεὶ βαρείῃ,
Ἤματι τῷ, ὅτε κεν μιν ὀπιζάφελος χόλος ἵκοι.
6 Καὶ τότε κεν δικάσειεν ἀν' ἔθνεα· τῷ δ' ὀλέκοντες
Λαοὶ ἅμα φθίσονται ἐπήτειμοι, εἰσόκε πολλαὶ
Αἰνῇσιν νεκάδεσσι μέγα στεινόιατο χῶραι,
Ἀνδρῶν πιπόντων· πολλὰς δέ κεν ὑπόσειεν
Ἰφθίμους κεφαλὰς γαῖαν καταποιφανέουσας.
7 Εἰν ὁδῷ ἐκ ποταμῶ χειμαῤῥόος ὃν ποτὸν ἕξει·
Τῷ κεν ἔπειτα κεφαλὴν ὑψοῦ ὄπι πᾶσιν ἀείραι.

Ψαλ. ριά'. ρια.

1 Πᾶσης ἐκ καρδίης ἱερὸν μένος Ἀθανάτοιο
Αἰνέσω εὐσεβέων ἐν ὁμηγύρει, ἠδ' ἐν ὁμίλῳ,
2 Ἦ μεγάλ' ἔργα Θεοῖο πέλει, τὰ δέ τ' ἄνδρες ἐφεύρον,
Ὅσσοι τε σπουδῇ δεδήμεθοι, ἠδ' ἐνόησαν,
Οἷς καταδύμιά τ' ἦεν, καί σφιν ὥδε κῆρι μεμήλη.
3 Τῶδ' ἔργῳ μέγα κῦδος ἰδὲ κλέος ἐσθλὸν ὀπηδεῖ·

Τῶδε

Τῶδε δικαιοσύνη μένει ἔμπεδον ἅπαντα.
4 Τεῦξεν ἃ θέσκελα ἔργα καὶ ἐσομβρίοισιν ἀοιδὴν,
Πάντες ἵνα μνησαίαθ', ὅσοι μετόπιθε γλυώνται·
Μείλιχος Ἀθάναθος, μάλα δ' οἱ νόος ἐς ἐλεήμων.
5 Τοῖς δέ μιν ἀζομβρίοισιν ἔδωκ' ὑπὸ λιπὶδος αἴσαν
Ἐδμῆναι, ὃδ' ἀνένευσεν· ἐπεὶ τάμεν ὅρκια πιστὰ,
Αἰεὶ συνθεσίης μεμνημβρος ἔς τε ὀπάσω.
6 Ὧ λαῷ ἀναφανδὰ τὸ ὃν κράτος, οἷον ἔοργε,
Δεῖξεν, ἵν' ἀλλοδαπῶν ἀνδρῶν σφι κλῆρον ὀπάσῃ.
7 Ἀτρεκὲς ὅτι καὶ ἰθὺ τὸ χερσὶν ἔῃσιν ἔρεξεν,
Οὐδ' ἁφάμαρτε δίκης· ἐὰ θέσφαλα δ' ἔμπεδα πάντα,
Πιστά τε ξύμπασαι ἐφημοσύναι τελέθουσιν.
8 Πάσῃσιν γλυεῇσι ἀμφιπερὲς ἑσήκασιν,
Αἰὲν ἀληθείῃ τετελεσμέναι εὐθυκίῃ τε.
9 Ῥύσατο δ' ὃν λαὸν, καὶ ὑπ' ἐκ κακότηθος ἔλυσε·
Ῥήτειλε δ' ᾧ ἐπέτελλε, ἀμφιπερὲς ὄφρα μένῃσιν·
Ἱερὸν αἰδοῖόν τ' ἐὸν οὔνομα κυδάλιμόν τε.
10 Ἀρχὴ καὶ κορυφὴ σοφίης φόβος Ἀθανάτοιο.
Ὅσοι δ' ὡς ἔρδουσι, κατ' ὃν νόον, ὡς ἐπέτελλε,
Πάντες πέπνυνται, φρεσὶ καὶ κέχρηνται ἀγαθῇσι
Τῷ κλέος ἄσβεσον, καὶ ἀπείρετον ἔπλετο κῦδος.

Ψαλ. ριϛ'. 112.

1 Ὄλβιός ὅτιν, ὃς Ἀθάνατον φρεσὶν ἧσι φοβεῖται,
Τοῖο δ' ἐφημοσύῃσι καὶ ἔνδοθι θυμὸν ἐτέρφθη.
2 Ἰφθιμός τ' ὀπὶ γαῖαν ἐὸς γόνος, ὅν κε λίπῃσιν·
Εὐσεβέων τ' ἀνδρῶν γλυεὴ μετόπιθε μάκαιρα.
3 Ὄλβος τε πλοῦτός τ' ἄλις ἔσεται ᾧ ἐνὶ οἴκῳ·
Τῷ δὲ δικαιοσύνη αἰεὶ μένει, ὃδέ τ' ὄλωλε.
4 Ἦ ῥα δικαίοισιν φάος ὄρνυται ἔν τε σκοτίῃλῃ·
Αὐτὸς δὲ σοφρων ἀλκάς τε καὶ ἤπιός ὅτιν,
Αἰεὶ μειλιχίῃ τε κεκασμένος, εὐθυκίῃ τε.
5 Ἀνέει δ' αὖ ἀγαθῷ νόος ἐν φρεσὶν ἐς ἐλεήμων,
Τῷ καὶ ἑκὼν ἄλλοισι χαρίζεται ἅππα εἰδώς·
Πολλοῖσίν τ' ἐλπίδα φέρει, καὶ σοφρονι θυμῷ

Χρηίζοντι

Χρηΐζοντι δανείζει, ὅ, τευ κεχρημένος ἔλθοι·
Καὶ τὰ ἃ ἔργα κομίζει ὀπιθοστυφήσι νόοιο,
Ἠδὲ μάλ' εὐφραδέως πεπνυμένα πάντ' ἀγορεύει.
6 Ἡ θὴν ἀσυφέλικτος ἐν ἀνδράσιν ἔσεται αἰεί·
Καλὸν δ' ἔσετ' ὄπιθε κὴ ἐσομβρίοισι πυθέσθαι,
Οἷον ἔριξε δίκαιος ἀνὴρ, ἐρατὴ δέ τ' ἀοιδὴ
Πᾶσιν ἐπ' ἀνθρώποισι, κὴ ὃν κλέος ὔποτ' ὀλεῖται,
Τῷ δὲ μνημοσύνη χαείεται κὴ ἄφθιτος ἔσαι.
7 Ἄτρομος ἔν φρεσὶν ἧσι, κὴ ὐ δέος οἱ ποτ' ἀκοῦσαι
Λυγρὴν ἀγγελίην, χαλεπὴν δ' ἢ φῆμιν ὀπίσω·
Ἀλλ' οἱ ἐνὶ σήθεσσιν ἀτάρβης νόος ἔσαι,
Ἔμπεδος, ἀξέγκλιτος, πίσυνος Θεῷ, αἰὲν ἀρηρώς.
8 Εὖ δ' ἐσήεικται, καί οἱ ἀδελφεὲς ἐν φρεσὶν ἧτορ·
Οὐδέ π ταρβήσει, μενέει δέ τε πάμπαν ἔκηλος,
Εἰσόκε δυσμενέων ἀνδρῶν κακὸν οἷτον ὀρῴτο.
9 Πολλοῖς πολλά τ' ὄρεξε, κὴ ἐσκέδασ' ἔνθα κὴ ἔνθα,
Καὶ πωχοῖσιν ἔδωκε· μένει δέ τε νωλεμὲς αἰεὶ
Ἡ σύεργεσίη, μετά τ' ἐσομβρίοισιν ἀοιδὴ·
Καί κέν οἱ ἀγλαΐηφι κέρας κὴ κῦδος ἀερθῇ.
10 Καὶ τὸ μὲ ὄψετ' ἀλιτρὸς, ἄχος δέ μιν ἀμφικαλύψει,
Ὡς τε μέγ' ὀχθήσας καί κεν βρύξειεν ὀδόντας,
Τηκόμενος κραδίην, κὴ ἔνδοθι θυμὸν ἀμύσσων·
Ἀπεικλον δὲ κακοῖσιν, ὅ, τευ σφέας ἦμερ αἱρῇ,
Οὐδὲ ἔξεσι τέλος, κενεὸν δέ τε ἔσετ' ἔέλδωρ.

Ψαλ. ριγ'. ΡΙΖ.

1 Αἰνεῖτ' ὔμμες Ἀναχθ, ὅσοι θεράποντες Ἄνακτος,
Κλείετε Παμβασιλῆ, αἰνεῖτ' ὄνομ' Ἀθανάτοιο.
2 Οὔνομ' ἄρ' Ἀθανάτοιο θεσπλυτὸν ἤματα πάντα
Καὶ νῦν κὴ μετόπισθε ἀθρήσεις αἰνετὸν ἔσω.
3 Αἰνετὸν οὔνομ' Ἄνακτος ἀπ' ἠελίου ἀνιόντος
Ἐς κατάδυτα, φάος ὅθεν ἔρχεται, ἠδ' ὅθεν ἀχλύς.
4 Ὕψι μάλ' Ἀθανάτος ναίει ὑπὲρ ἔθνεα πάντα·
Τῷ δ' ἀνὰ κῦδος ἔδη ὑπὲρ οὐρανὸν ἀστερόεντα.
5 Τίς κ' ἀτάλαντος Ἄνακτι; τίς ἂν Θεῷ ἰσοφαρίζοι,

Τῷ

Τῷ Θεῷ ἡμετέρῳ, ὃς ὑπέρτατα δώματα ναίει;
6 Καδδ' ἔδυ ἐξ ὕψευς ἀγανορεσσιώησι νόοιο,
Ὄφρ' ἴδοι ὅσσα τέτυκται ἐν ὐρανῷ, ἠδ' ὅπι γαίῃ.
7 Ῥεῖα δέ θ' ὕψωσεν κεχρημένον ἄνδρα σεσῖλλην,
Ὄρσας ἐκ κόνιος, ἠὲ ἀπ' ἄδεος ὑψόσ' ἄειρε
Πτωχὸν λευγαλέον, ἠὲ ἀεικελίης κόπροιο·
8 Ὄφρα μεθ' ἡγεμόνεσσιν ἕοις ἀρχοῖσί τε λαοῦ
Θείη ἀείζηλον, ἠὲ ἐν ἡρώεσσι καθίζοι.
9 Σπείρῃ δ' αἶψα γυναικὶ φίλως οἰκῆας ὄπασσε,
Δῶκε δέ οἱ ἅματ' οἶκον ἔχειν, ἠὲ μητέρα τέκνων
Ἔμμεναι, ἣ δέ τ' ἰαίνεθ' ἁγαλλομένη τεκέεσσιν.
Ἀθάνατον κλυίζετ', ἀείδετε Παμβασιλῆα.

Ψαλ. ειδ'. 114.

1 ΓΑῖαν ὅτ' Αἰγυπτίλιν λίπεν Ἰσράηλος ἀμύμων,
Οἵ τ' Ἰακώβ παῖδες ἀπ' ἀνδρῶν βαρβαροφώνων
Ἐξῆλθαν, μετανάσσαι ἀπ' ἔθνεος ἀλλοδαποῖο·
2 Ἔσκεν Ἰουδαίη ἕδος ἱερὸν Ἀθανάτοιο,
Καὶ δόμος Ἰσραήλ ἐος θρόνος, ἔνθα τ' ἄνασσεν.
3 Ὡς ἴδεν, ὡς ἔφυγεν, Ἰορδάνεω ὀπίσω ἔρεεν, ἠδ' ὑπεχώρει.
4 Οὔρεα δ' ἐσκίρτησαν ἐναντίον, ἠΰτε κριοί·
Καὶ λόφοι ὡρχήσαντ' ἀμαλῆς ἄρνεσσιν ὁμοῖοι.
5 Τίπτε θάλασσα τόσον φύζαδ' ἔτραπες; ἦ τί παθοῦσα;
Καὶ σύγ', Ἰορδάνη, εἰπέ, τί χάζεο πολλὸν ὀπίσω;
6 Τίπτ' ὄρεα σκιρτήσατ' ἐναντίον, ἠΰτε κριοί;
Καὶ λόφα ὡρχήσαθ' ἁμαλῆς ἄρνεσσιν ὁμοῖοι;
7 Πότνια Γῆ, τρέε σύ, τρεῖτ' ὄρεα μακρὰ καὶ ὕλη
Ἀντία γ' Ἀθανάτου, Θεοῦ ἀντία τοῦ Ἰακώβου.
8 Πέτρῃσιν ὃς γλαφυρὴν λίμνην ποίησε βαθεῖαν,
Πέτρην τε λίθακα κρήνην μελάνυδρον ἔθηκε.

Ψαλ. ειε'. ριζ'.

1 Μὴ νύ ποτ' ἄμμιν, Ἄναξ, πημάν δυς, μή νύ ποτ' ἄμμιν,
Ἀθάναι', ἀλλὰ σῷ ὀνόματι κλέος ἐδλὸν ὄπαζε
Μουύῳ, μειλιχίης τε καὶ ἀληθείης ἕνεκεν σῆς.
2 Τίπτε γὰρ ἀλλοδαποὶ ἡμέας ὀνοκερτομέοντες,
Λαοί θ' ὧδ' ἐρέουσι, Ποῦ ἔπλετο νῦν Θεὸς αὐτῶν;
3 Ἀλλ' ἡμέων Θεός ἐστιν ἐν οὐρανῷ ἀστερόεντι·
Ἔρξεν ὅππως ἔθελεν, καί οἱ φίλον ἔπλετο θυμῷ.
4 Τῶν δέ τε εἴδωλα χρυσός τε καὶ ἄργυρός εἰσιν·
Ἔργ' ἀνδρὸς κεκμηότα, βροτέης τεχνήματα χειρός.
5 Τὰ στόματά σφιν ἔασ', ἀλλ' οὔποτε γήρυν ἱεῖσιν·
Ὀφθαλμοὺς μὲν ἔχουσιν, ὅμως δέ τε οὐδὲν ὁρῶνται·
6 Οὔατά τέ σφιν ἔασ', ἀλλ' οὔτιν' ἔκλυον αὐδῆς.
Ῥῖνας ἔχουσ', ἀλλ' οὔτις ὅπῃ σφέας ἤλυθεν ὀδμή.
7 Χεῖρές τέ σφιν ἔασ', ἀλλ' οὔπ ποτ' ἀμφαφόωνται.
Καί γέ σφιν πόδες εἰσίν, ἔδ' δέ τε ἔμπεδον αἰεί,
Οὐδέ π κινύμενα σφριγλώσσουσ' ἔνθα καὶ ἔνθα·
Καὶ μάσαξ, ἀτὰρ οὐ ποτιφωνήεντα γίνονται,
Οὐδέ πού ἐκ φάρυγ' ἀξέ τε στόμα γῆρυν ἱεῖσι.
8 Τῶν δέ τε τέκτονες ἄνδρες ὁμοῖοι τοῖσι πέλον·
Τοιοῦτοι καὶ ἅπαντες, ὅσοι τοῖσίν τε πίθηται.
9 Θαρσεῖτ' Ἀθανάτῳ Ἰσραήλοιο γενέθλη·
Τοῖσιν ὄγ' ἄρρηκτόν τ' εἶλαρ, μέγα θ' ἕρμα τέτυκται.
10 Θαρσεῖτ' Ἀθανάτῳ ἱερὸν γένος Ἀαρῶνος·
Τοῖσιν ὄγ' ἄρρηκτόν τ' εἶλαρ, μέγα θ' ἕρμα τέτυκται.
11 Ἀθανάτῳ δ' μάλ' ἐστὲ πεποιδότες, οἳ ἐνὶ θυμῷ
Ἀθάνατόν τ' αἰδεῖσθε, καὶ οἷς νόος ἔστι θεσθαι·
Τοῖσιν ὄγ' ἄρρηκτόν τ' εἶλαρ, μέγα θ' ἕρμα τέτυκται.
12 Μνήσατ' Ἄναξ ἡμέων, ἡμῖν δέ τε ὄλβια δώσει,
Ὄλβια δώσει ὁμῶς Ἰσραήλοιο γενέθλῃ,
Οἴκῳ τ' Ἀαρῶνος ἀμύμονος ὄλβια δώσει.
13 Ἁζομένους τ' Ἄνακτα, ἑλού τ' ὀπάσσα τρομέοντας
Πάντας ὄγ' εὖ ἔρξει, ἅμα μικρούς τε μεγάλους τε.
14 Ἦ κεν Ἄναξ ὑμέας ἔπ καὶ πολὺ μᾶλλον ἀέξοι,

Ὑμέας,

Τμέας, ὑμά τε τέκνα, ἠ ἀμφοῖν ὄλεσον ὀφέλλοι.
15 Ὀλβιοδαίμονες ὔμμες ἔκητί γε Ἀθανάτοιο,
Οὐρανὸν ὃς πέπηγεν ἰδὲ χθόνα πυκνοτέιραν.
16 Οὐρανὸν αὐτὸς Ἄναξ ἔχει, ὐρανὸν ἀστερόεντα·
Γαῖαν δ' ἀνθρώποις χωρὶς κεκτῆσθ' ἔδωκεν.
17 Οὔ πως Ἀθάνατον νέκυες καταθνητοῦντες
Αἰνεῦσ', οὔτ' ἄρα τὶς τῆλ' οἳ ὑπὸ γαῖαν ἔδυσαν,
Ἔνθα σιωπῇ ὁμῶ κέαται κλυτὰ ἔθνεα νεκρῶν.
18 Ἀθάνατον δ' ἡμεῖς αἰνήσομεν ἤματα πάντα,
Καὶ νῦν ἠ μετόπιθεν ἀεί. Αἰνήσατ' Ἄνακτα.

Ψαλ. ριε'. 116.

1 ΑΘάνατον φιλέω, ὅτι σώθετο, καί μευ ἄκουσε
Φωνῆς λισσομένοιο, ἠ ἔκλυεν εὐχωλάων.
2 Οὕνεκ' ἐμεῦ ὅτ' ἄκουσε, ἠ ἔκλυεν εὐχομένοιο,
Τοὔνεκά μίν τ' αἰεὶ ὀπιπεύσομαι ἤματα πάντα,
Ὄφρ' ἔτι πνοιὴ ζώω, ἠ ὀρῶ φάος ἠελίοιο.
3 Ἀμφὶ δέ μοι θανάτοιο πολύσονα δέσματ' ἔχυντο,
Καί μ' ἔχον, ὡς ἀνδῖσι λίνα ἁλόντα πανάγρῃ,
Καὶ συλεῦ αἰδαο ἔμ' ἄλγεα λυγρὰ κίχανον·
Ἄτην δ' ἀρκαλέην, ὀδυνήν τ' ἐνέκυρσα βαρείην.
4 Τόφρ' ἐκέτευσα, ἠ οὔνομ' ἐπ' Ἀθανάτοιο κάλεσσα·
Λίσσομ', Ἄναξ, ῥῦσαι ψυχήν μευ, καί με σάωσον.
5 Μείλιχος Ἀθάνατος ἠ ἐνιπῆς, ἠδὲ δίκαιος.
Ἤπιος ἡμέτερος Θεὸς ἔπλετο, ἠ ἐλεήμων.
6 Οὔτε γὰρ ἀμηχανίην ἔχε θυμὸν, νηπίη τε,
Ἀθάνατος τοῖς δεῦτ' φύλαξ ἔσός τε τέτυκται·
Ὅς ἠ ἐμοὶ μάλα τειρομένῳ ὀπιτάρροθος ἦεν.
7 Ἀτρέμας ἦν ἥσο, ψυχή μευ, ὡς τὸ πάρος περ,
Ἡσυχίη τε σε, ὡς περὶν, ἔχοι φρένα, μηδέ τι τάρβει·
Ἔξοχα γάρ σ' ὤνησεν Ἄναξ, πόλλ' ἐσθλά τ' ἔοργε.
8 Ψυχὴν γὰρ θανάτοιο δυσηχέος ἐξανέλυσας,
Ὀφθαλμὼς κλαυθμοῖο, πόδας μευ σφάλματος αἰνῦ·
9 Τῷ κεν ἐγὼ εὐκηλος ἔτι ζωοῖσι μετείην,
Ἀθανάτοιο ἕκητι, ἠ ἔρδοιμ' ὡς ἐπέτελλε.

10 Πίστευον, κὴ τοὕνεκ' ἀπλεγέως ἔπος εἶπον,
Λίλιω τειρόμβυός περ ὀϊζύϊ κὴ κακότητι.
11 Ἦ ῥ' ἐφάμην ἀπεύδων (φύλαδ' ἔτραπέ με πρόμος αἰνὸς)
Ψεῦσαι πάντες ἄσαν, κὴ ἐκέπη πιφὰ βροτῆσιν.
12 Ἀθανάτῳ τίνα κεν δοίλιω ὀπηκέ' ἀμοιβὴν,
Ἠδὲ χάειν, πάντων ἕνεκ' ἐσλῶν, ὅσσα μ' ἔοργεν;
13 Ἱερὸν ἐν χείρεσσιν ἔχων δέπας ἀμφικύπελλον,
Οὔνομά τε πρύνδων ὀπιπώσομαι Ἀθανάτοιο,
Λοιβὴν πρόδε κὴ οἴσομ', ὅ με σωόφρων ἐσάωσε.
14 Νῦν ὃ κὴ Ἀθανάτῳ εὐχωλὰς, ὥσπερ ὑπέσην,
Τίσω· καί κεν λαὸς ἐὸς πᾶς εἰσορόωτο·
15 Κήδεται ἦν ὁσίων, ὅτε ῥα θνήσκοντας ὁρᾶται
Ἀθάνατος, σφῶϊ δ' ὄκ ἐάει θάνατόν τε μόρον τε
Νήποινον κὴ ἄπτον, ἐπεὶ μάλα οἱ ἐείπμος.
16 Ὦ Ἄνα, ἦ μάλ' ἐγὼ θεράπων τεὸς εὔχομαι εἶ̃ναι,
Σὸς θεράπων μὲν ἐγὼ, σῆς κὴ παΐς ἀμφιπόλοιο·
Δεσμὰ σύ μοι λύσας, κὴ ἐλεύθερον εὖθις ἀφῆκας.
17 Ἱερά τοι ῥέξω, χάειν εἰδέω θ', οἷά μ' ἔοργας,
Ἰρεύων· ἅμα κὴ ὀπιπώσομαι οὔνομ' Ἄνακτος.
18 Νῦν ὃ καὶ Ἀθανάτῳ εὐχωλὰς, ὥσπερ ὑπέσην,
Τίσω· καί κεν λαὸς ἐὸς πᾶς εἰσορόωτο·
19 Οἴκου ἐνὶ πρυθύροισι, κὴ εἰν αὐλῇσιν Ἄνακτος,
Σοὶ, κήλ' Ἱερουσόλυμ' ἐνὶ μέσῃ. Κλείετ' Ἄνακτα.

Ψαλ. ριζ'. 117.

1 Αἰνεῖτ' Ἀθάνατον πάντ' ἔθνεα φυλά τε φώτων.
Λαοί μιν σύμπαντες ἰῇ ἀναμέλψατε φωνῇ.
2 Τοῦ γὰρ μειλιχίη μεγάλη πέλει, ἥπερ ἐς ἡμέας
Κέχρηται, κὴ ἀληθείη μιμνει ἤματα πάντα
Νωλεμέως. Αἰνεῖθ' ἱερὸν μνῶ Ἀθανάτοιο.

Ψαλ.

Ψαλ. ριώ'. μ δ.

1 Κλείετ' Ἀνακ[ι], ἐπεὶ ἀγαθὸς κ) μείλιχός ἐστιν,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
2 Ἰσραήλοιο κλειτὸν γένος ὧδ' ἀγορεύοι,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἄπτοτ' ὀλωλεν.
3 Οἶκός τ' Ἀαρῶνος ἀμύμονος ὧδ' ἀγορεύοι,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
4 Ἀζομβύων τ' Ἄνακτα ἕκαστός θ' ὧδ' ἀγορεύοι,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔπο[τ] ὀλωλεν.
5 Ἀθάνατον λιτάρευτα δύη ἀρημβύος αἰνῆ,
Σκεινόμβυός θ'· ὁ δ' ἄκουσε, κ) εὐρυτέρη με καθεῖσε.
6 Πὰρ δέ μοι Ἀθάνα[ι], τῷ τε φρεσὶ θάρσυνος εἰμι·
Οὐδέ θ' ὑποδδείσω, ὅ μ' ὀπιχθόνιος βροτὸς ἔρδοι.
7 Πὰρ δέ μοι ἵσατ' Ἄναξ, καί μοι ὀπιτάρροθός ἐστι·
Τῷ δυΐων κακὸν οἷον ἐσόψομαι ὀφθαλμοῖσι.
8 Βέλτερόν ἐστιν Ἄνακτι πεποιθέναι, ἢ βροτοῖσιν,
Οἷσισίν περ ἐοῦσιν, ἐνὶ φρεσὶ θάρσυνον ἦ[ι].
9 Βέλτερόν ἐστιν Ἄνακτι πεποιθέναι, ἢ μέδεσι
Λαῶν κ) ἀρχοῖσιν ἐνὶ φρεσὶ θάρσυνον ἦ[ι].
10 Πάντα με φῦλα βροτῶν ὡεί τ' ἀμφί τε κυκλώσαντο,
Δηΐοι· αὐτὰρ ἐγώ σφιν ἀεικέα πότμον ἐφῆσω,
Οὐνόμαπ κράτεῖ τε πεποιθὼς Ἀθανάτοιο.
11 Πάντη μ' ἔλσαντες ὡεί τ' ἀμφὶ τε κυκλώσαντος,
Κυκλώσαι[ς]· αὐτάρ σφιν ἀεικέα πότμον ἐφῆσω,
Οὐνόμαπ κράτεῖ τε πεποιθὼς Ἀθανάτοιο.
12 Ἠΰτε ἔθνεα πολλὰ μελισσάων ἀδινάων,
Ὡς ὡεί μ' ἠγερέθοντο, ἀφεξέαισι μεμαῶτες.
Ὡς δ' ὀλίγον σέλας ὄρνυ[σ]ι ἀκανθέων καιομβύάων,
Αἵ ῥ' ὑτάχ' ἐφθίαται, ἅμα δ' ἔσβη ἀκάματον πῦρ,
Φλόξ τ' ἐμαράνθη αἶψα, μινυνθάδιος δέ οἱ ὁρμή·
Ὡς νύ κεν οἱ σκεδεῖεν, ἐπεί σφιν πότμον ἐφῆσω,
Οὐνόμαπ κράτεῖ τε πεποιθὼς Ἀθανάτοιο.
13 Ὦσάς με κρατερῶς, ὄφρ' ἐν κονίῃσι πέσοιμι,
Ἴεμβυος συφελίξαι· Ἄναξ δέ μοι ἦεν ἀρωγός.

14 Ἀθάνατός τέ μοι ἀλκὴ, ἀοιδή θ' ἱμερόεσσα·
Καὶ σέφρων μ' ἐσάωσε, φόως δέ τ' ἔμοιγε τέτυκται.
15 Χάρμα μέγ' ἦδ' ἀλαλαγμὸς ἐνὶ μεγάροισι δικαίων·
Οἵ τ' ἐπεὶ ἔν σφοι εἰσὶν, εὐφροσυνήσιν ἄεισαι·
Δεξιῇ Ἀθανάτοιο ἔνι δένος ἐκ ὀπεικτὸν,
Τῷ κὴ ἀειρύεται, κὴ καρτερὰ ἔργα τελείει.
16 Δεξιὴ Ἀθανάτοιο ὑπείροχος ἔπλετο πάντων·
Δεξιῇ Ἀθανάτοιο ἔνι δένος ἐκ ὀπεικτὸν,
Τῷ κὴ ἀειρύεται, κὴ καρτερὰ ἔργα τελείει.
17 Οὐκ ἂν ἐγὼ φθιμήοις, ἀλλὰ ζωοῖσι μέλοιμι.
Βιόμαι, ἠδὲ τὰ ἔργα δίξομαι Ἀθανάτοιο.
18 Αἰνῶς Ἀθάνατός με κακῇς ὀδύνῃσιν ἔδωκεν·
Ἀλλ' ἄμ' ἔἰασεν θάνατον κὴ πότμον ἐπασσεῖν.
19 Εὐδικίης ἤ πύλας μοι ἀνοίγετε· τῇσι δ' ἐσελθὼν
Κλείω Ἄνακτα, καὶ οἱ χάριν εἰδέω, καὶ μιν ἀείσω.
20 Ἡ πύλη ὅδ' ἐστὶν Ἀνακτος, ἧ εἰσιχνέονσι δίκαιοι.
21 Σοὶ χάειν εἰδήσω, σὺν τε κλέος ἐσθλὸν ἀείσω.
Ὅτι μευ ἤκουσάς τε, φόως δέ τ' ἔμοιγε τέτυξαι
22 Ὃν ποτε τέκτονες ἄνδρες ἐνοσφίσαντο δομῆες,
Πάμπαν ἀπόβλητόν τε κὴ ἀπρηνὲς φάσαν εἶναι,
Οὗτος μὴν τε λίθος πέλει πάντων γένεται ἄλλων,
Ἐξοχά τ' ἐν πρώτῃ, σῦ τε χρεὼ ὅδε μάλιστα,
Ἕρμα δόμου, ξυνέσεις τοίχων, μεγάροιό τε κάρτος.
23 Καὶ τὸ μὲν Ἀθανάτου ἔργον πέλεν, ἠδέ τευ ἄλλου·
Ἄμμι δ' κὴ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρᾶσθαι.
24 Ἥδε τε ἡμέρη ὅδε, Ἄναξ ἣν αὐτὸς ἔτευξε,
Καὶ ἱερὴν μιν ἔθηκε, ἵνα τ' εἴη πᾶσιν ἑορτή·
Τῇ φρένα τερπόμενοι κεχαρησόμεθ', ἄμμι δ' θυμὸς
Ἐν σήμασι γανύσετ' εὐφροσυνήσιν ἰαυθείς.
25 Σύνθεο, λίσσομαι, Ἄναξ, ἴλαθι, κὴ ἄμμε σάωσον·
Λίσσομαι, Ἄναξ ἴλαθι, δός εἰρήνην τε κὴ ὄλβον.
26 Τεὶς μάκαρ ὅτ' ἔοι, σῦ θ' οἱ πέλοι, Ἀθανάτοιο
Οὐνόματι πρήσσει τε ὃς ἔρχεται· ὔμμι δὲ πᾶσιν
Εὐχόμεθ' ὄλβια πάντ' ἐξ οἴκου Ἀθανάτοιο.
27 Ἀθάνατος Θεὸς ὅδε, φάος δέ τε ἄμμιν ἔδωκε·

Βωμῷ

Βωμῶ ἐϋδμήτῳ ἱερήϊον ἄσσον ἄγοντες,
Τῦδέ πρὸς κεράεσσιν ἐν ἐλλεδανοῖσι δέεσθε.
28 Ἦ ῥα Θεὸς σύ μοι ἐσσι, τεὸν δέ τε αἶνον ἀείσω·
Ἦ ῥα Θεὸς σύ μοι ἔσσι, κλείω δέ σε ὑψόσ' ἀείρων·
29 Κλείετ' Ἀναικ', ἐπεὶ ἀγαθὸς κὴ μείλιχός ἔστιν,
Οὕνεκα μείλιχός ἐσ', ἔλεος δέ οἱ οὔποτ' ὄλωλεν.

Ψαλ. ριδ'. 119

א

1 Ὄλβιοι, οἱ ἐν ὁδῷ καθαρὸι κὴ ἀμύμονες εἰσὶ·
Πείθονταί τε Θεῷ, ζώουσί τε ὃν κτὶ θεσμόν.
2 Ὄλβιοι, οἵπερ ἔασ φρεσὶν οὗ ἀλέγουσι δέμιστας·
Οἵ τέ μιν ὁτραλέως παντυμαδὸν ἀμφιπένονται,
Πάσης ἐκ καρδίης ὁλζήμυοι εἰρόμυοί τε.
3 Οὐδέ τι αἴσυλον ἔρξαν· ἓῆς δ' ἴσαν ἀτραπιτοῖσι.
4 Καὶ σὺ μάλ' ἐνώγεις τὰ θέσφατα πάγχυ φυλάσσειν
Σπουδῇ, μηδ' ἀπιθῆσαι ἐφημοσυνῃσι τεῇσιν.
5 Εἴθε νόος μοι ἑτοῖμος, ὁδός τ' ἰθεῖα γένοιτο,
Θέσφατά σου τελέσαι τε, κὴ ἔρξαι ὅσ' ὁπτέλλεις.
6 Τόφρα μοι ἐκ αἰδὼς ἔσεται κακή, ὁππότ' ἐρητμέων
Πασέων σὺν ἐπέων τε μετατρέπομ' ἠδ' ἀλεγίζω.
7 Σὰς ἢ δικαιοτάτας ἐπεὶ οὖν δεδάηκα δέμιστας,
Ἰθείῃ καρδίῃ σέφρων τεὸν αἶνον ἀείσω.
8 Πειθοίμιλν κεν ἔγωγε θεοσεβίῃσι τεῇσι·
Μὴ σύ γέ με σελίπηδα δαμπερὲς ἤματα πάντα.

ב

9 Πῶς ἁγνὸς καθαρός τε πέλοι αἰζηὸς ἀνήρ;
Ἠὲ τί κεν ῥέξας ἐὰ λύματα πάντα καθήραι;
(Πολλαὶ ἐπεὶ νέκ ἀνδρὸς ὑπερβασίαι τελέθουσι)
Ὃν βίον ἰθύων κατὰ σὸν λόγον ἠδὲ δέμιστας.
10 Σπουδῇ σε ζήτησα κατὰ φρένα κὴ κατὰ θυμόν·
Μή με τεῶν ἑάσειας ὁσπλαγχθῆναι ἐρέλμεων.
11 Θέσφατά σὰ μοι ἐγὶ καρδίῃ κειμήλιά κεῖται·

Ἀσφαλέως τά τε κεἰθεν ἐνὶ φρεσὶ, μή σ' ἁλίτωμαι.
12 Αἰνετὸς, Ἀθάναξ, ἐσσὶ τελὰς μοι δίδασκε θέμιστας.
13 Τὰς ἧ δίκας, ὅσσας σευ ἀπὸ στόματος προφέρουσι,
Συμπάσας γλώσσῃ τ' ἐμῇ ἀμφαδίην κατέλεξα.
14 Εὐφρεσύνῃσι τεῇσιν ἀγαλλόμενος φρέν' ἐτέρφθην·
Ὡς εἰ χρήματα πάντ', ἄφενός τέ μοι ἄσσετον εἴη.
15 Ἔξω ἐνὶ κραδίῃ τελὰ θέσφατα μερμηρίζων·
Αἰδέσομαι τὰ σὰ ἔργα, κελεύθων δ' ἐκ ἀλογήσω
16 Σῆσιν ἐφημοσύνῃσιν ἐνὶ φρεσὶ θυμὸν ἰανθείς
Τέρψομαι· οὐδέ λόγων ποτε λήσομαι, ὧς ὀπιτέλλεις.

ל

17 Σὸν θεράποντ' εὖ ἔρξον, ἵνα ζωοῖσι μετείω,
Σόν τε λόγον τελέσω, σῆς τ' ἐννεσίῃσι πίθωμαι·
18 Δὸς φάος, ἠέρ' ἀπῶσον, ἵν' ὀφθαλμοῖσιν ἴδωμαι
Θαύματα, θέσκελά τ' ἔργα προφερείμβια σῷ ἐνὶ θεσμῷ·
19 Γαίῃ ἐν ἀλλοδαπῇ ἀνὴρ ὡς οἰκία ναίων,
Ξεῖνος ἐγὼ μάλα τοῖος ὅτις χθονί· τοὔνεκ' ἐφετμὰς
Μή νυ τεὰς ἔχε νόσφιν ἐμεῦ ἄπο, μηδέ τι κεῦθε.
20 Ὡς λύτο μοι φίλον ἦτορ ἐνὶ φρεσὶ, σῶν γε θεμίστων
Ἱμέρῳ ἀλλήκτῳ βεβολημένον ἤματα πάντα.
21 Ἀνδρας ὑπερφιάλους, κὴ ἀγήνορα θυμὸν ἔχοντας
Νείκεσας, συγερὴ δ' αὐτοὺς κατέμαρψεν ἐπαρὴ,
Οἵ σευ ἀπέπλαγχθεν, κὴ σῆς ἀπίθησαν ἐφετμῆς.
22 Τῆλ' ἀπ' ἐμεῦ λώβην τε κακὴν κὴ ὄνειδος ἔρυκε·
Ὅτι θεοπροπίας κὴ θέσφατά σευ ἐφύλαξα.
23 Ἑζόμενοι ἄμ' ἄνακτες ἐμεῦ κάτα πόλλ' ἀγόρευον·
Αὐτὰρ ἐγὼ, ὅσσον θεράπων τεὸς εὔχομαι εἶναι,
Θεσμούς σευ ὁσίας τε θέμιστας θῆκ' ἐνὶ θυμῷ.
24 Μαρτυρίῃσι τεῇσι μάλ' ἔνδοθι θυμὸν ἐτέρφθην·
Αἵ τέ μοι ὥς τε πηὲς βουληφόροι ἄνδρες ἔασι.

25 Κεῖμ'

ד

25 Κεῖμ' ὀλιγοπελέων, ψυχὴ δέ μευ ἔδεϊ ἐρείδῃ,
Καὶ κονίῃσι μίγη· χεῖ σὸν λόγον, ὥσπερ ὑπέστης,
Σὺ σωόφρων ζώγρει με κακῶς κεκαφηότα θυμόν.
26 Ἔργ' ἔμ' ἔλεξα βίου τε, σὺ δ' ἔκλυες αὐδήσαντος·
Θέσφατά σευ με δίδαξε δέμισάς τ', ὄφρα δαείω.
27 Σεῦ δέ τ' ἐφημοσύνας μοι ἐνὶ φρεσὶ βάλλε νοῆσαι,
Ὄφρ' εἰδέω οἷαί ποτ' ἔασιν, πῶς τε πίθωμαι·
Καὶ τότε θαύματά σευ καταλέξω, δέσκελά τ' ἔργα.
28 Τήκετ' ἀνίῃ θυμὸς ἐνὶ σήθεσιν ἐμοῖσι,
Πένθεσι τειρόμενος, σὺ δέ μοι φρένας ἐντὸς ἴαινε,
Σὴν κατὰ ἀοχήσιν, καί μοι κράτος ἐγγυάλιξον.
29 Δυσνομίην καὶ ψεῦδος ἐμοῦ ἄπο νόσφιν ἔρυκε.
Καὶ σὸν θεσμὸν ἔμοιγε χαρίζεο, καί μ' ἐλέαιρε.
30 Οἶμος ἀληθείης μοι ἄδε φρεσὶν ἔξοχα πάντων,
Τὸν δ' ἐλόμην· θεσμοὺς δ' ὅ τεοὺς πρὸ μοῦ αὐτὸν ἔθηκα.
31 Ἀθάνατ', ὅπότ' ἔγωγε τεῶν μεθέηκα θεμίστων,
Ἀλλ' ἔχομ' ἀτεμφέως· σὺ δ' μή μοι ὀνείδεα χεύῃς.
32 Σοὶ ἑφομαρτήσω κραιπνῷ ποδί, σῶν δέ τ' ἐφιμέων
Θεύσομ' ὁδὸν μεμαώς· ἐπεὶ ἐν σήθεσιν ἐμοῖσιν
Εὔρηας κραδίην, καὶ πρόφρονα θυμὸν ἔθηκας.

ה

33 Ἀθάνατ', ἀτραπιτὸν σὺ τεῶν με δίδασκε θεμίστων·
Τηὼ δὲ φυλάξω ἔγωγε ἀμφιπερὲς ἴχνια πάντα.
34 Δός μοι ὀπιθροσύνην, καὶ ἐνίπνευσον νόον ἐσθλόν·
Σὸν δέ τε θεσμὸν ἔγωγ' εἰρύσσομαι ἠδὲ φυλάξω,
Πάσῃς ἐκ κραδίης εἰρύσσομαι ἠδὲ φυλάξω.
35 Ἰθυνόων με πάτοις τεῶν ὀπίσσων ἑφιμένων,
Τῷ δ' ἔνι πομπὸς ἔοις· τῷ γὰρ μάλα θυμὸν ἐτέρφθην.
36 Τοίην τε κραδίην μοι ἐνὶ σήθεσι πιθέσθαι,
Ὡς μοι θέσφατά σευ, ἃ κέρδεα πᾶσι μεμήλῃ,
Μηδέ τι με πλούτοιο θοὴ φρένας ἵμερος αἱρῇ.
37 Ὀμματά μευ ἀπείρυ', ἵνα μὴ ματὴν ἐσορῶμι·

αεκ

Καὶ ζωόν με φύλαξον ἐν ἀτραπιτοῖσι τεῇσι.
38 Σῷ θεράποντι τὸν τελέσαις ἔπος, ὥσπερ ὑπέσης,
Ἔμπεδον· ὅς σε μάλα φρεσὶν ἄζομαι αἰδέομαί τε.
39 Αἶψος ἐμὸν κὴ ὄνειδος ἐμεῦ ἄπο πάμπαν ἕρυκε,
Ὅ φρεσί τε συγάω· σὰ γὰρ δίκαι ἐσθλαὶ ἔασι.
40 Σῶν ἐπέων ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ·
Σῇ ᾗ δίκῃ ζώγρει μ' ὀλιγοδρανέοντά περ ἔμπης.

ז

41 Σαὶ εὐεργεσίαι ἔμ' ἱκοίατο· καί μ' ἐλέησον,
Ἠδὲ σάωσον, Ἄναξ, κατὰ σὸν λόγον, ὥσπερ ὑπέσης.
42 Καὶ τότε λωβητῆος ἐμοὶ τί ποτ' ἀντίον εἴπω,
Ῥεῖά κεν εἰδείην· σῷ γάρ τε πεποίθατα μύθῳ.
43 Μή με λόγον σεῦ ἀληθείην τ' ἀπαίρεο πάμπαν
Ἐκ στόματος· σῆς γάρ τε δίκης μοι θυμὸς ἐώλπει.
44 Καί σὸν θεσμὸν ἔχωγε φυλάξω νωμελὲς αἰεί.
45 Εὐκηλος δ' ὁδὸν εἶμι διαμπερὲς, ὡς ὅτε τις φὼς
Εὐρυτέρῃ παρέλασσεν, ἣ ἁ στείνεσθαι ἔμελλεν·
Οὕνεκ' ἐφημοσύνας σεῦ ἐρευνῶ ἠδὲ μεταλλῶ.
46 Καὶ δὲ τε παῖς βασιλεῦσι θεοπροπίας ἀγορεύσω,
Καὶ μάλα θαρσήσας, αἰδώς τέ μοι οὐκ ἔσετ' ἄντίον.
47 Σῇσί τ' ἐφετμῇσι φρένα τέρψομαι, ἃς ἐφίλησα.
48 Σῇσιν ἐφημοσύνῃσι κὴ ὑψόσε χεῖρας ὀρέξω,
Ὧν ἔραμαι· σὰ δὲ θέσφατ' ἐμοὶ σῷ κῆρι μελήσει.

ט

49 Μνῆσαι σῆ ἔπος, τό, τ' ἔειπες σῷ θεράποντι·
Τῷ ἔπι καί μοι θυμὸν ἔλπεσθαι ἀνέηκας.
50 Ἠδέ τέ μοι θαλπωρὴ, ἐπεί μ' ἐκίχανεν ὀϊζύς·
Σὸν γὰρ ἐμὲ ζώγρησεν ἔπος, κὴ θυμὸν ἔγειρεν.
51 Ἄνδρες ὑπερφίαλοι λίην μοι ἐφεψάασκον·
Ἀλλ' οὐδ' ὡς θεσμοῦ γε σέθεν ἄπο νόσφι λιάδθην.
52 Ἀθάνατ', ἦ ῥα τῶν μεμνημένος ἔκ σε δικαίων,
Ἄς τὸ πάλαι ἀνέδειξας· ἐμὸν δέ μοι ἔτρεπεν ἦτορ.
53 Ταρβος με φρένας εἷλε, λίην ξείνησα δὲ θυμῷ,

Εἵνεκα

Εἵνεκα δυσεβέων, οἳ θεσμὸν σὸν κατέλειψαν.
54 Θέσφατά σευ μοι ἀοιδὴ, ὅπῃ ποτ' ἂν οἰκία ναίω,
Ξεῖνος ἐὼν μάλα τοῖος ὁδὶ χθονὶ, ἠ μετανάσσω.
55 Ἀθάνατ', ἤνομά σευ μεμνημένος ἐν φρεσὶ θῆκα
Ἀμβροσίην ἀλὸς νύκτα, τεὸν θεσμόν τε φύλαξα.
56 Τοῦτό μοι ἴλαι, ὅτι σῇσιν ἐφημοσύνῃσιν ἐπείθου.

Π

57 Σὺ κλῆρος ἠ μοῖρά μοι, Ἀθάνατ', ἔπλεο μοῦνος·
Ἦ ῥ' ἐφάμην τελέσειν γε τεὸν λόγον, ὅν τ' ἐπίτελλες.
58 Σοὶ ἱκέτης, μάλα σ' ἐλλισάμην, γονύμβμος ἄντην,
Πάσης ἐκ κραδίης· ἐλέαιρέ με, ὥσπερ ὑπέσχες.
59 Πῆ παρέβην, τί δ' ἔρεξα, τί μοι δέον, ἔργα τε πάντα,
Νωῖν ἐμά τε, τεά τ' ἐόντ', εὖ ἐφρασάμην ἐνὶ θυμῷ·
Πρὸς ὃ θεοπροπίας σευ ἐμοὺς πόδας ἔσχαπον αὖθα.
60 Σπεῦσα, ἠ ὑ μύνησι παρέλκων, ἢ κλοτοπεύων,
Ἀλλὰ μάλ' ἐμμεμαὼς τάχ' ἐφιλμάς σευ ἐφύλαξα.
61 Κτήματα μβώ μοι ἀφεῖλον ἁλιτρῶν ὅλαμοὶ ἀνδρῶν·
Ἀλλ' οὔπω θεσμοῖο λελασμβόος εἰμὶ τοῖο.
62 Ἐγρόμβμος ἀλὸς νύκτα μέσσην τεὸν αἶνον ἀείδειν
Ὄρσομαι ἐξ εὐνῆφι, τεῶν ἕνεκ' εὐδικιάων.
63 Πᾶσίν σ' αἰδομβόοισιν ὀπάων εἰμὶ ἕταιρός τε·
Τοῖσίν θ' οἳ πείδονται ἐφημοσύνῃσι τεῇσι.
64 Σῆς, Ἄνα, μειλιχίης πλείη πᾶσ' ἔπλετο γαῖα,
Ἠδ' ἐλέοιο τοῖο· σὺ θέσφαθ' σεῦ με δίδαξε.

Ϙ

65 Σὸν θεράποντα φιλοφρονέων πολλ' ἐσθλὰ ἔοργας,
Ἀθάνατε, πρὶν ὡς ἔπος εἶπες, καί μοι ὑπέσχες.
66 Δὸς νόον ἐσθλὸν ἔμοιγε, ἠ ἰδρείην με δίδαξον·
Καὶ γὰρ ἔγωγε τεῇσιν ἐφημοσύνῃσι πέποιθα.
67 Πρὶν ἔμ' ὀϊζυέμεν κακὰ πολλὰ, ἠ ἄλγεα πάσχειν,
Ἤμβροτον, ἀσάμβιν· νῦν σοῖς δ' ἐπέεσσι πίθησα.
68 Ἐσθλὸς μὲν σὺ τέτυξαι, ὁμῶς δέ τε ἐσθλὰ ἔοργας·
Θέσφατά σευ με δίδαξε, ἠ εἰπέ μοι, ὄφρα δαείω.

69 Ἄνδρις

69 Ἄνδρες ὑπερφίαλοι καὶ ἀγήνορα θυμὸν ἔχοντες
Ψεῦδός τ' ἐτεκμήναντο κακοξείνοισι νόοισι,
Ψεῦδός τ' ἐμεῦ κάτα βάλλαν ὑπέρβιον ἀρτύναντες·
Σὰς δέ τ' ἔγωγε φυλάξω ἐφεσμὰς κηρόθι μᾶλλον.

70 Πίονι ὡς θυμῷ κραδίη αὐτοῖσι παχεῖα
Γίνεται· αὐτὰρ ἐμοὶ θεσμὸς σεῦ θυμὸν ἰαίνει.

71 Ἐθλόν μοι μάλα πολλὰ παθεῖν, καὶ πολλὰ μογῆσαι·
Θέσφατά σεῦ φρεσὶν ὄφρα δαείω ἠδὲ νοήσω.

72 Πολλὸν ἐμοὶ κρείσσων στόματος σέθεν ἔπλετο θεσμὸς,
Χίλια ἢ χρυσοῖο καὶ ἀργυρείοιο τάλαντα.

73 Ἦ ῥα καὶ ἐμὲ τεῦξαν ἐτεκμήναντό τε χεῖρες·
Δός μοι ὑποφρονέειν, σεῦ ἐφεσμὰς ὄφρα δαείω.

74 Ἄνδρες σ' αἰδόμενοι ἐμὲ γηθήσουσιν ἰδόντες·
Οὕνεκ' ἐμοιγε τεῷ μύθῳ ἔπι θυμὸς ἐώλπει.

75 Οἶδ' ὅτι ἰθεῖαι καὶ, Ἀθάνατ', εἰσὶ δίκαιαι·
Καὶ δίκῃ ὀδ' ὥσπερ εἶσαν ἐμοὶ ἐφέπουσας ὀίζυν.

76 Λίσσομ', Ἄναξ, σὴ μειλιχίη θαλαμεύσιον εἴη
Θαλπωρή τ' ἐμοὶ, ὥσπερ ὑπέσχετο σῷ θεράποντι.

77 Σός τ' ἔλεός με κιχάνοι, ἵνα ζωοῖσι μετείω·
Θεσμὸς γάρ μοι χάρμα τέλει, ὃν ἐτέρφθην.

78 Αἰσχυνθεῖεν ὑπερφίαλοι, οἳ ἀνάπαλον ἔμπαν
Μὲ ἐμὲ σφάλωσιν, στολιὰ φρεσὶ μήδε' ἔχοντες·
Αὐτὰρ ἐφημοσύνας σεῦ ἐγὼ φράσομαι ἐνὶ θυμῷ,
Συνεχὲς ὁρμαίνων, ὅπ μοι τόδε κῆρ μέλεσι.

79 Οἵ σε μάλ' ἄζονται, ποτί μ' ἐτράπεθεν ὁμαρτῇ,
Οἵ τ' εὖ εἰδότες εἰσὶ τεάων μαρτυριάων.

80 Εἴη μοι κραδίη σῆς εἰνὶ δίκῃσιν ἀμέμφων,
Ὡς μή μοι ποτὲ αἶσχος ἐλεγχείη τε γένηται.

81 Ἦ μ

כ

81 Ἡ μὲ ἔλιπε ψυχὴ, ποθεγμένη ἠδὲ ποθεῦσα
Σόν τε φόως ἔλεόν τε. τεῷ ὄ πεποίθεα μύθῳ.
82 Ἐφθίατ' ὀφθαλμοὶ ποθεγμένοι ἠδὲ ποθεῦντες
Σὸν λόγον, ὡς τὸ φρὶν μοι ὑπέσχεο, ὅφρα τελέσῃς·
Καί ῥ' ἐφάμιλλω, Πότε κεν μ' οὕτω παραμυθήσαιο;
83 Ἠΰτε γὰρ τ' ἀσκὸς καπνῷ μεμορυγμένος εἰμί·
Ἀλλὰ τεῶν οὐδ' ὧς γε λελασμένος εἰμὶ θεμίστων.
84 Ποσσῆμαρ θεράποντι τεῷ κακὸν ὧδέ κεν εἴη;
Ἕως πότε δ' οἱ εἵμαρτο πόνον τ' ἐχέμεν καὶ ὀϊζύν;
Ἀνδρας δυσμενέας πότε πίσεαι, οἵ μ' ἐδίωξαν;
85 Βόθρις μοι ὤρυξαν ὑπέρβιοι, οὔτι δίκηισιν,
Οὐδὲ τεὸν κατὰ θεσμὸν, ἀγλωσσείῃσι νόοιο.
86 Πίστις ἐφημοσύναι σευ ἀληθέες εἰσί τε πᾶσαι·
Τοίγε δέ μ' ὑβρίζουσι βίῃ, σύ μοι ἔλθ' ἐπαρωγός.
87 Ἠ ὀλίγου με φθῖσαν ὀπὶ χθονὶ νηλεῖ θυμῷ,
Τυτθὸν ἐδευήσάν τε φίλης αἰῶνος ἀμέρσαι·
Ἀλλ' οὐδ' ὣς πρὸ ἔγωγε τεὰς κατέλειπον ἐφετμάς.
88 Μειλιχίῃ με σάωσον, ἵνα τοι ζώω ἐπέλλω·
Σοῦ δ' ὑποσταθίου στόματος θεσμόν τε φυλάξω,
Πειθόμενος μύθῳ καὶ μαρτυρίῃσι τεῇσι.

ל

89 Μίμνει, Ἄναξ, ὁ λόγος σεῦ, ἐν οὐρανῷ ἔμπεδος αἰεί.
90 Σὴ δέ τ' ἀληθείη ἅμα πασάων γενεάων·
Στῆσας χθόνα νέρθ', ἡ δ' ἵσταται ἀσυφέλικτος.
91 Ἔμπεδα μίμνουσιν τάδε σήμερον, ὡς ἐπέτελλες,
Ἡ γὰρ πάντα δοῦλα, ἐπεί σοι ὑποδρώωσιν ἅπαντα.
92 Εἰ μὴ χάρμα καὶ ἦδος ἐμοὶ τεὸς ἔπλετο θεσμὸς,
Ἔνθα κακῶς κεν ὄλωλα δύῃ ἀρημένος αἰνῇ.
93 Οὐκ ἂν πώποτ' ἔγωγε τεῶν ὑπιλήσομαι ἐφετμέων·
Τῇσιν γὰρ ζώγρησας ἐμοὶ κεκαφηότα θυμόν.
94 Σὸς μέν ἔγωγε· σάω με τεῶν ἔμπαιον ἐφετμέων,
Τὰς καὶ ἐπισταμένῃ διζήμενον ὄφρα δαείω.
95 Δέγμενοί ἑως ἔμ' ὀλέσσωσι σκοποὶ ἐόντ' ἀλεῖται·

Q Ἀλλὰ

Ἀλλά γε θέσφατά σευ φράσομαι ἐγὼ ἐν φρεσὶ βάλλων.
96 Πάντων μὲν τέλος εἶδον, ὅσ' ἀνδράσι καλὰ πέρανται.
Σὴ δέ τ' ἐφημοσύνη λίην εὐρεῖα τέτυκται.

ם

97 Ὡς θεσμοῖο τεῦ ἔραμαι, κ) ἔμ' ἵμερος αἱρεῖ·
Αὐτὸν ὃ πρόπαν ἦμαρ ἔχω φρονέων τ' ἀνὰ θυμόν.
98 Δυσμενέων ἀνδρῶν με πέρι φρένας ἔμμεν ἔθηκας
Σῇσιν ἐφετμῇσιν· παρὰ γάρ τ' ἐμοὶ αἰὲν ἔασι.
99 Πέπνυμαί τε νόον πρὲς πάντων οἵ με δίδαξαν·
Ὅτι θεοπροπίας κ) θέσφατά σευ ἐνὶ θυμῷ
Σωεχὲς ὁρμαίνω, τά τε μοι πρὸ κῆρι μέμηλε.
100 Πρεσβυτέρους γενεῆ φρεσὶ πευκαλίμῃσι κέκασμαι,
Οἳ πρότεροι ἐγένοντο, ἐγὼ δέ τε πλείονα οἶδα·
Πρόφρων ὕνεκα πείθομ' ἐφημοσύνῃσι τεῇσιν.
101 Ἰχνιά μευ ἀφ' ὁδοῖο κακῆς ἔτρεψα πόδας τε
Πάσης, νοσφισθείς, ἵνα σοῖς ἐπέεσι πίθωμαι.
102 Οὔπ τεῶν πρὸ ἔγωγε παρὲξ ἔκλινα δικαίων,
Τῶν δ' ἔχομ' ἀτρεμέως· ὅτι μοι σὺ διδάσκαλός ἐσσι.
103 Σοὶ δ' ἔπι ὡς ἑρατειναὶ κ) ἡδέα μευ ὑπερῴᾳ·
Ἢ μάλα μάσσακί μευ μέλιτος γλυκίων πέλεν αὐτῇ.
104 Σῇσιν ἐφημοσύνῃς ἐδάην πεπνυμένος εἶμι·
Τῶν ἕπεί ἔν ἔμπαιος ἐὼν φρένας ἔμμαθον ἐθλὰς,
Ἔχθραί μοι δόλιαι πᾶσαί θ' ὁδοὶ, αἰσυλά τ' ἔργα.

ן

105 Λύχνος ποσὶν ἐμοῖσι λόγος τεὸς, ἠπερ ὁδεύω,
Καὶ φάος ἀτρεκέως ἐπιτοῖσιν, ἢ ἔνθ' ἢ ἔνθα κιόντι.
106 Ὤμοσά, κ) τελέσω, ἐπεὶ ἆρ' μέγαν ὅρκον ὄμοσσα,
Ἰθείας τε δίκας σευ ἔρυσθαι ἠδὲ φυλάσσειν.
107 Ἦ μάλα πόλλ' ἔπαθον, κ) τείρομαι αἰνόθεν αἰνῶς·
Ζώγρησόν μέ, Ἄναξ, κ) σὸν λόγον, ὥσπερ ὑπέσης.
108 Λίσσομ' Ἄναξ, στόματός μοι ἑκὼν ἃ τοι ἱερὰ ῥέζω,
Σοὶ χαρίεντα πέλοι· σὺ δ' σὰς με δίδασκε θέμιστας.
109 Νωλεμέως ψυχὴ μευ ὅπι ξυρὸς ἵσταται ἀκμῆς·

Ἀλλ'

Ἀλλ' ὡδ' ὡς θεσμοῖο λελασμένος εἰμὶ θεοῖο.
Δυσεβέες μοι κρύβδα βελέχον λοχόωντες ἔθηκαν·
Σῶν δέ τ' ἐφετμέων οὔτι παρὲξ ἀλαλήμενος εἶμι.
Κλῖνον ἔμοιγε θεοσεβίας σὺν ἀκήρατον αἰεὶ
Ἔλλαχον· αἱ γὰρ ἐμῆς κραδίης μέγα χάρμα πέλονται.
Θυμὸν ἐς κραδίην μοι ἐνὶ ςήθεσσιν ἄνυσσα
Θέσφατά σευ τελέσσαι, ἐς ἐφημοσύνησι πιθέσθαι,
Νωλεμὲς ἤματα πάντα, ἐς εἰ βίοτοιο τελευτήν.

ד

Ὡς ἀνεμώλια πάντα πολύτροπα δίμισα θυμῷ,
Ὡς τέ μοι ἐχθρὰ πέλει θεσμὸν σὸν ἀμφαπάζω.
Κευθμῶν μοι σὺ ἐς ἀασὶς ἔπος τὸν ἐλπίδος αἴσα.
Ἔρρετε τῆλ' ἀπ' ἐμεῖο, ὅσοι κακὸν μηχανάασθε·
Καὶ γὰρ ἐμοῖό γε πείσεσθ' ἐφημοσύνησι θεοῖο.
Στήριξόν με τὸν κατ' ἔπος (σὺ γὰρ ἔμμορε ἔφασθαι
Ἕρμα ἐς ἄλλαξ ἐμοί) ὄφρα ζωοῖσι μετείην·
Μηδέ μοι ἐλπίδ' ἐμὴν ὀλέσας, κάκ' ἐλέγχεα χεύῃς.
Στήριξον, κεἰ κεν σόος ἀσκηθής τε γενοίμην·
Καί κε τεὰς ἀλέγοιμι θέμιστας νωλεμὲς αἰεί.
Συμπάντας ἤ, τῶν οἳ ἀποκλίνουσι θεμίστων,
Πάγχυ διέρρασσας εἰδὼν ὑπὸ ποσσὶ θεοῖσι·
Ψευδὴς γὰρ δόλος ἐς, ἀπάτη δ' ἀνεμώλιος αὐτῇ.
Σκωρίην ἴσα ἅπασας κατὰ γαῖαν ἀλιτρὰς
Πάντας ὁμῶς τῷ ἐς φίλα μοι τεὰ θέσφατ' ἔασι.
Δείδιά σ' ἐκπάγλως, ὑπὸ δ' ἔρρεμον ἔλλαβε γυῖα,
Καὶ χέρα σὰς τε δίκας αὐτῶς πόρεις ἐνὶ θυμῷ.

ו

Ἄϊσιμον ἦα, ἐς ἰδυίας ἔκεινα θέμιστας·
Μή μ' ἔα ὑβριςῆσιν ἕλως ἐς κύρμα γενέσθαι.
Εἰς ἀγαθὸν θεράποντος ὑπὲρ τεῦ ἐγγυάασο·
Μηδέ μ' ἐφυβρίζωσιν ὑπέρβιοι ἀνέρες αὖτως.
Ὀφθαλμοί μ' ἔλιπον ποτιδέγμενοι ἔως με σαώσαις,
Ἔρξαις θ' ὥσπερ ἔφασθαι, δίκαιά τε πολλά δ' ὑποσχάς.

124 Σὴν κατὰ μειλιχίην, φίλα μοι φρεσὶ δήνεα εἰδώς,
Ἔρξον· καί με δίδασκε σὰ θέσφατα, ὄφρα δαείω.
125 Σὸς θεράπων ἐγώ εἰμι· σύ μοι νόον ἐσθλὸν ὄπαζε,
Ὡς σὰ θεοσεβίπα φρεσὶν εἰδέω ἠδὲ νοήσω.
126 Νὺν σὲ μάλα χρεὼ, Ἄναξ, τὸ μὲν ἔρδειν, τοῖο δ' ὤρη·
Ὄφρι παρεξῆλθον θεσμὸν τεὸν ἠδ' ἁλίωσαν.
127 Φίλτεραι ὧν χρυσοῖο τεαὶ ἐμοί εἰσιν ἐφετμαὶ,
Αὐτάς τε σεβέβυλ' ὑπὲρ μοιο χρυσοῖο·
128 Τῷ κὴ ἐφημοσύνας πάσας σευ, κὴ σεῖ πάντων,
Ἰθείας τε μάλιστα δικαίας τ' ἔμμεν' οἴω·
Πᾶσαν δ' ἤχθηρα σκολιὴν ὁδὸν, αἰσυλά τ' ἔργα.

ד

129 Θαυμάσιαί τε κὴ ἔξαιτοι τεαὶ εἰσι θέμιτες·
Τὤνεκα δ' ἐνδυκέως αὐτὰς σεῖ κῆρι φυλάσσω.
130 Ἀρχὴ σῶν ἐπέων φάος ὀφθαλμοῖσιν ἔδωκε·
Καί τε χαλιφρονέοντα σοφροσύνης ἐπέβησε.
131 Τὸ στόμα μευ ἀνέῳξα. κέχηνά τε, δισσαίνω ὥς,
Ἀδμαίνων, δὴ γάρ ἑ ποτὲ μέγας ἵμερος αἱρεῖ·
Ὡς με τεῶν μάλα τε γλυκὺς ἵμερος εἵλεν ἐφετμέων.
132 Ἔς μ' ἴδε, καί μ' ἐλέησον, ὅπως ἄρα τοι θέμις ἐστὶ
Τοὺς ἐφορᾶν τ', ἐλεεῖν θ', ὅσοι οὔνομα σὸν φιλέουσιν.
133 Ἴχνιά μευ ἴδωνι τοῖσι λόγοισιν ἔπιθαι·
Μηδέ τ' ἀταδαλίη κρείσσων πις ἐμεῖο γένηται.
134 Ῥῦσαί μ' ἔκ τε βίης ἀνδρῶν ἔκ θ' ὕβριος αἰγῆς·
Οὕτω καί κε τεῇσιν ἐφημοσύνῃσι πιθοίμην.
135 Μειδιόων ἀγανοῖσι θεσσώπασι σὸν θεράποντα
Εἴσιδε· ἵλαός τε τεὰς μ' ἐδίδαξε θέμιτας.
136 Μυεῖ' ἀπ' ὀφθαλμῶν ποταμοί τ' ἴσα ῥοῇσι
Δάκρυα θερμὰ ῥέουσιν ἐμοὶ, δεύουσί τε κόλπον,
Οὕνεκα σὸν θεσμὸν δειλοὶ βροτοὶ οὐκ ἐφύλαξαν.

137 Ἦ σὺ

ς

137 Ἦ σὺ δίκαιος, Ἄναξ, ἰϑεῖαι σαί τε ϑέμιστες.
138 Θέσφατά σευ, ἃ φυλασσέμεναι ὀπί τ' ἄμμιν ἔτελλες,
Ἦ μάλα ταῦτα δίκαιά τ' ἀληϑέα τ' εἰσὶν ἅπαντα.
139 Τίκτει μοι κραδίην νέμεσις, κὴ ϑυμὸν ἀμύσσει,
Οὕνεκα δυσμενέες μύϑων σὺν ἐκλελάϑοντο.
140 Σὸν μὲ ἔπος καλὸν τε δικαιότατόν τε, πάλαιστον,
Λάμπει δ' ἀργυρος ὡς κεκαϑαρμένος ἐν πυρὶ αὐγῇ·
Τοὔνεκα σῷ ϑεράποντι φίλον ὦδε κῆρ τέτυκται.
141 Μικρός τ' ἠπιανός τ', οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριϑμῷ
Εἶμ' ἐγώ· ἀλλὰ τεῶν ὧδ' ὡς ὁπλίδομ' ἐφετμέων.
142 Εὐδλικίη σευ εὐδλικίη πέλει ἄφϑιτος αἰεί,
Μίμνει τ' ἤματα πάντα· τὸς δέ τε ϑεσμὸς ἀληϑής.
143 Ἄτη μὲ συγερὴ, χαλεπή τε κιχήσατ' ὀϊζύς·
Αὐτὰρ ἐφημοσύναι γε τεαί μοι χάρματ' ἔασι.
144 Μαρτυρίῃσι τεῇσι συνήορος ἄφϑιτος αἰεὶ
Εὐδλικίη· δὸς ἔμοιγε νόον, κὴ βείομαι ἔμπης.

ק

145 Νειόϑεν ἐκ κραδίης ἱκέτης τοι ἐὼν ἐδόησα,
Κλῦϑι δ' ἐμεῖο, Ἄναξ, σὰ δὲ ϑέσφατ' ἔγωγε φυλάξω.
146 Σοὶ ἱκέτης ἐδόησα, σὺ δ' ἔρχεο, καί με σάωσον·
Καί κεν ἔπειτα τεῇσι πιϑοίμην μαρτυρίῃσιν.
147 Ἦμος δ' οὔτ' ἄρ πω ἠώς, ἔπι δ' ἀμφιλύκη νὺξ,
Λισσόμενός σ' ἐδόησα· τεῷ ἔπι πεποίϑεα μύϑῳ.
148 Πρωὶ μάλ' ὀφϑαλμοί μευ ἀπὸ γλυκὺν ἐσκέδασ' ὕπνον,
Φϑὰν ἢ οἱ ἐγρόμενοι περί τε ποίων φυλακίων·
Ὄφρα σὸν ὁρμαίνω πυκινῶς λόγον ἐν φρεσὶ βάλλων.
149 Μειλιχίῃ ὅπ' ἄκουσον ἐμεῖν, ὦ μάλ' ἔασ' ἐλεήμων,
Ἀϑάνατ' ἠδὲ τεῇσιν ἔμ' εὐδλικίῃσι βίωσαι.
150 Ἐγχειμφϑὲν πέλας, οἵπερ ἀταδαλίῃσιν ἕπονται,
Οἷς τ' αἰεὶ ὕβρεις τε φίλαι, κακὰ ἔργα·
Τῆλε δ' ἀπέπλαγχϑεν ϑεσμῶν ἀπὸ νόσφι τεοῖο.
151 Καὶ σύ μοι, Ἀϑάνατε, χειμφϑεὶς πέλας αἶψα παρέστης·

Σαὶ δέ τ' ἐφημοσύναι παναληθέες εἰσὶν ἅπασαι.
152 Θέσφατά σευ πάλαι οἶδα χῦ φρένα κὴ χῦ θυμόν,
Ὅπι σὺ ταῦθ' ἵδρυσας, ἵν' ἔμπεδά τ' αἰὲν ἔωσι.

ג

153 Φράζεό μευ καλότητα, λύτης τε με ἐξανάλυσον·
Οὐ γὰρ ἐγὼ θεσμοῖο λελασμένος εἰμὶ τεοῖο.
154 Εἰκὶ δίκησιν ἔμοιγε παείσασο, καί με σάωσον·
Καδδ' ἄρα σόν τε λόγον ξώχρησον ἔμ', ὥσπερ ὑπίσης.
155 Οὐ μὰν πω τι σαωδῆναι χρεὸν ὄφιν ἀλιτροῖς,
Ἀλλ' ἄπο νόσφι· τιὰς ἐπεὶ ἐκ ἀλέγουσι θέμιτας,
Νήπιοι, οὐδ' ἔϊσονται ἐνὶ φρεσὶν, ὅρρα σαῶσι.
156 Σοὶ ἔλεός τε μέγας, κὴ μειλιχίη ἔνι πολλὴ,
Ἀθάνατε· ζώγρησον ἔμ' ὐδικίῃσι τεῇσι.
157 Πολλοὶ μὰν με δίωξαν ἀπιλύεα θυμὸν ἔχοντες,
Καί μοι δυσμενέοντες ἐναντίβιον μαχέσαντο·
Ἀλλ' ἐγὼ οὔτι τεῶν γε παρὲξ ἔκλινα δικάων,
Σῇσι ϑ μαρτυρίῃσιν ἐπείθετό μοι φίλον ἦτορ.
158 Ἄνδρας ὑφροιάλυς εἶδον τετηκότι θυμῷ,
Ἀχαλόων, ὅτι ἄτι τεοῖς ἐπέεσι πίθοντο.
159 Φράζεο ἕνεκ' ἔμοιγε φίλαι τεαί εἰσιν ἐφετμαί·
Μειλιχίῃ με βίωσαι, Ἄναξ, ἐπεὶ ἐσ' ἐλεήμων.
160 Ἀρχὴ σοῖο λόγοιο ἀληθείη ἐτέτυκτο·
Ἔμπεδον ἔν, ὅ, τε ῥῶτον ὑφέρχεο, νωλεμὲς ἔσαι,
Πᾶσαι ἄμ' ἰθεῖαί τε δίκαι τεαὶ ἐμμενὲς αἰεί.

ψ

161 Μαψιδίως με δίωξαν ἀναίτιον ὄρχαμοι ἀνδρῶν·
Σὸν δ' ἔπος αἰδεῖται μοι ἐνὶ σήθεσι φίλον κῆρ.
Αἰὲν ὑποδδείσαντι μὴ φρεσὶ, μή τι παρέλθω.
162 Σῷ ἔπεϊ κραδίη μοι ἐυφροσύνησιν ἰάνθη,
Ὡς ὅτε τις τ' ἐχάρη πολλῇ ὀπὶ λείδι κύρσας.
163 Ἐχθρὸν μοι συλεόν τε, μελαίνῃ κηλὶ τ' ἔοικε
Τὸ ψεῦδος· θεσμὰν ϑ τεὸν ὦδε κῆρι φίλησα.
164 Ἑπτάκις ἦμαρ ἔκαστον ἐγὼ τεὸν αἶνον ἀείδω,

Σὴς

Σῆς ἕνεκ' εὐδικίης, ἰδεάων τε θεμίςων.
165 Ἀνδράσιν, οἳ θεσμὸν ϗ θέσφατά σευ φιλέουσι,
Πολλὴ ἄμ' εἰρήνη τε ϗ ἄσπετος ὄλβος ὀπηδεῖ·
Οὐδέ σφεας τι κακὸν δηλήσεται, οὐδὲ πεδήσει.
166 Δέγμηνός εἰμι φόως σὸν, Ἄναξ, ἐτέλεσά τ' ἐφετμάς·
167 Σάς τε θεοσεβίας ἀπονδὴ ἐφύλαξ' ἐνὶ θυμῷ,
Τῆσιν ϗ πιθόμην, ϗ τὰς ὤρεϊ κῆρι φίλησα.
168 Σὰς μὲν ἐρημοσύνας τε θεοσεβίας τε φύλαξα.
Ἀμφαδὰ γάρ τοι ἔασιν ἐμαὶ ὁδοὶ ἔργα τε πάντα.

Π

169 Φωνή μευ βοόωντος ἐσάντα τοι ἐγγύθεν ἔλθοι,
Ἀθάνατ'· ἐδλὸν ἄπαζε σύ μοι νόον, ὥσπερ ὑπέσης.
170 Εὐχή μευ ἱκέσθω σέθεν θεσπέσιος δὲ παρείη·
Ῥῦσαί μ' ἠδὲ σάω κατὰ σὸν λόγον, ὥσπερ ὑπέσης,
171 Αἶνός κεν χειλέων ἀπ' ἐμῶν ῥέοι ὡς ἀπὸ κρήνης,
Ἤλιθα πολλὸς, ἐπεί με τὰ θέσφατά σευ ἐδίδαξας.
172 Γλῶσσα δέ μευ ἀναφανδὰ τεὸν λόγον ἐξαγορεύσει·
Πᾶσαι γάρ τε δικαιόσυναι τεαί εἰσιν ἐφετμαί.
173 Ἀλκὴρ ἔμοιγε τεὴ χεὶρ, ἠδ' ὀπιτάρροθος ἔσω·
Σὰς ὅτ' ἐρημοσύνας ἐλόμην, θεοδέδμηταί τε πάντων.
174 Ἀθάνατ', ἣ μὲ τέως γλυκὺς ἵμερος εἷλεν ἀρωγῆς,
Τείλισόν μοι σὸν τε φόως, ἵνα πως με σαώσῃς
Τειρόμενον· θεσμὸς γὰρ τεὸς μοι χάρμα τέτυκται.
175 Ζώοι ἐμὴ ψυχὴ, ἵνά δ' αἴνεον σὸν καταλέξει,
Ἕως ποτ' ἔῃσι· δίκαι δέ τεαί μοι ἀρηγόνες εἶεν.
176 Δειλὸς ἐγὼν ἀλάλημαι ὄϊς ὥς ἤπερ ὄλωλε·
Δίζεο σὸν θεράποντ', ἐπεὶ οὐ σέων λήθομαι ἐφετμέων.

Ψαλ. ρκ΄. 120.

1 ΠΡὸς τὸν Ἄνακτ' ἐβόησα θλίψει ἀρημένος αὐτῇ,
Τειρόμενος κακότητι ϗ ἄλγεσιν, ὃς δ' ἐπάκουσεν.
2 Ἐκ χειλέων, οἷόσπερ φίλον ἔστι ψεύδεα βάζειν,
Ψυχήν μου ῥῦσαι, Ἄναξ, γλώσσης τ' ἀπατηλῆς.
3 Ἀλλὰ τί σοι δώσει; τί δ' ὀνήσει γλῶσσ' ἀπατηλή;

Γλῶσσα κακὴ ψεύδεσι κεκασμένη ἠδὲ δόλοισιν ;
4 Ὀξέα οἷα βέλεμνα, τά τ' ἀνέρες ἐν δαὶ λυγρῇ
Ἰφθιμοι ωεγίεισ· ὣς τ' ἄνδρακες ἀρκεύθοιο,
Τοῖς ὑπὸ θεσπεσιὴς πῦρ ἔφεπτο καιομένοισι·
Τοῖαι ἐπισβολίαι φιλοκερτόμε ἀνδρὸς ἔασιν.
5 Ὤ μοι ἐγὼ, τί πάθω, ὀπιδήμιος εἰνὶ Μεσήχῳ,
Ναίων τε συγερῇσιν ἐνὶ κλισίῃσιν Ἐρεμβῶν ;
6 Ψυχή μευ μάλα δηθὰ μετ' σφίσι ναιετάουσα
Πωλεῖθ', οἵσιν ἔεις τε φίλη πόλεμοί τε μάχαι τε.
7 Πὰρ δέ μοι εἰρήνη· καὶ μὲν ὅτε κῆρε φίλησα·
Οἱ δέ μοι, ὡς σφιν ἔγωγε φίλα φρονέων ἀγορεύω,
Ἀντιβίην μαχέσαθ', ὡς εἰ ἄφαρ εἶεν ἑτοῖμοι
Φυλόπιδα ςῆσαι πολυάικος πολέμοιο.

Ψαλ. ρκα'. 121.

1 ΕΙΣ ὀρέων κορυφὰς ποτιδέξομαι ὄμματ' ἀναχών,
Ἔνθ' ὅθεν ἄλκαρ ἔμοιγε φόως δέ τε ἱερὸν ἦλθεν.
2 Ἄλκαρ ἀπ' Ἀθανάτοιο φόως τέ μοι ἱερὸν ἦλθεν,
Ὅσσερ γαῖαν ἔτευξε καὶ οὐρανὸν ἀστερόεντα.
3 Οὐ πόδα τοι βλαφθῆναι ἰόντι πε αὐτὸς ἐάσει·
Οὐδ' ἄν τις βαίνοντά σ' ὑποφήλειεν ὀδοῖο·
Τὸν δ' οὐκ ἂν βείζοντα ἴδοις ποτὲ ὅς σε φυλάσσει.
4 Οὐκ ἂν ὑποδείξειε φύλαξ μέγας Ἰσραήλε,
Νυσάζων, οὔτ' ἄρ μιν ἔχοι ποτὲ νήδυμος ὕπνος.
5 Ἀθάναλος μὺ σοίγε φύλαξ πέλει ἠδ' ὀπίσω·
Ἀθάνατος σκιὴ ὄζι τεῇ ὀπὶ δεξιτερῇφι.
6 Οὔ σέ κεν ἠμάτιον πλήξαι μήλος ἠελίοιο·
Οὐδέ σέ κεν κεφέουσα βάλοι κατὰ νύκτα σελήνη.
7 Ἀθάνατος δέ σε ῥύσεθ' ὑπ' ἐκ κακότητος ἁπάσης·
Ἐνδυκέως· σήν τε ψυχὴν βίοτόν τε φυλάξει.
8 Ἀθάνατός σε φυλάξει ἢ ἔνθ' ἢ ἔνδα κιόντα,
Εἴτέ πε ἐξέλθῃς, εἴτ' ἔν ποδὶ οἶκαδ' ἵκηαι,
Καὶ νῦν, καὶ μετόπισθε ἀθέμιτερὸς ἥματα πάντα.

Ψαλ.

Ψαλ. ρκϛ'. 122.

1 Γηθησεν μοι θυμὸς ἐνὶ σήθεσι φίλοισιν,
Ὁππότ' ἔειπον ἐμοὶ, Ἴομεν ποτὶ δῶμα Θεοῖο.
Γέναται δ' ἐζεώσαντο, πόδες δ' ὑπεικλαίνοντο,
Ὡς μοι ἔλιω ἀπασὴν ἄφαρ Θεῦ οἶκον ἰκέσθαι.
2 Ὦ κάλ' Ἱερσόλυμα, τεῶν ἔντοσθε πυλάων
Στήσονται πόδες ἀμοὶ, ἰδ' εἰν αὐλῇσι τεῇσιν.
3 Ἔκπαγλα Σόλυμα, πόλις ὡς εὖ ναιετάουσα,
Ἣ τ' εὖ ἁρμονίῃσί δ' ὁμοφρουνῇσί τ' ἄρηρεν.
4 Ἔνθα δὴ φῦλ' ἀναβαίνουσιν, φῦλ' Ἀθαναίοιο,
Ἰλαδὸν ἐς θεσμύς τε καὶ ὅρκια συνθεσιάων,
(Ὅρκια πρὶν, πάλαι ἄμφ' Ἰσράηλ ἔτεμνε)
Πάντες ἵν' αἰνίζοιατ' ἀγακλυτὸν ὄνομ' Ἀναικ.
5 Ἔνθα γὰρ εἰσ' ἀγοραὶ ὀπιδήμιοι ἠδὲ θώκοι,
Ἐν ᾗ θρόνοι, ὅθι τοῖσι δικαπόλοι εἵαται ἄνδρες,
Οἶκια Δαβίδαο θρόνοι βασιληίοί εἰσιν.
6 Εἶδ' ἄγετ' εἰρήνιω Σολύμοις εὔχεσθε καὶ ὄλβον·
Τοῖσιν δ' εὐθενίη ἄλις ἔστω, οἵ σε φιλεῦσιν,
Οἵ τ' εὖ σοι φρονέουσι, μάλα σφίσιν ἔργ' ἀρετήσει.
7 Εἰρήνη τεθαλυῖα τεῆς ἐν ἐπάλξεσιν εἴη,
Εἴη αὐλῇσι τεῇσιν ἅμ' εὐθενίη τ' ἐρατεινὴ,
Αὐτοκασιγνήτη εἰρήνης ἱμερόεσσης.
8 Εἵνεκ' ἐμῶν τε κασιγνήτων, πάντων δ' ἑτάρων τε,
Νῦν ἐρέω, Ἐν τ' ὄλβος, ἐν εἰρήνη τε σοι ἔστω.
9 Ἡμετέροιο Θεοῖο καὶ Ἀθαναίης ἕνεκ' οἴκου
Αἶνῶς μοι τὸ μελήσει, ἵν' εὖ σοι πάγχυ πέλητα,
Ὅππως τ' ἢ ἔπεϊ ἢ ἔργῳ τεὸν ὄλβον ἀφέλλω.

Ψαλ.

Ψαλ. ρκγ'. 123

1 Ὄμματ' ἀνέχω σοι, ὃς ὑπέρταλα δώματα ναίεις,
Τῆλε μάλ', ἐν νεφέλῃσι κὴ οὐρανῷ ἀστερόεντι.
2 Ὡς δ' ὅταν ὀφθαλμοὶ δμώων ὁπὶ χεῖρας ἀνάκτων,
Ὄμματά τ' ἀμφιπόλοιο ἐπὶ δὴ χεῖρας ἀνάσσης·
Ὡς κὴ ἐπ' Ἀδάνατον Θεὸν ἡμέων ὄμματ' ἔασιν,
Εἰσόκεν οἰκτείρῃ ἡμέας, ἔλεός τέ μιν αἱρῇ.
3 Ἀλλ' ἡμέας ἐλέαιρε, Ἄναξ, ἡμέας ἐλέαιρε·
Λίην γὰ λαθικτοὶ, ὀνείδεά τ' ἄμμιν ἔχυντο.
4 Λευγαλέης μεΐλα πάγχυ κορεσάμεθα φρένα λώβης,
Ὕβριος ὑλομόχης τε βεβοτῶν πόλλ' ὑπερθύντων,
Οἵ τ' ὄλβῳ πίσυνοι, κὴ ἀγήνορα θυμὸν ἔχοντες,
Ἡμέας λωβέυσιν, ἐλέγχεά τ' ἄμμι πιθεῖσιν.

Ψαλ. ρκδ'. 124

1 Εἰ μὴ Ἄναξ τις ἔσκεν, ὃς ἡμῖν ἄγχι παρέστη,
Καὶ ἐπιτάρροθος ἦεν, νῦν Ἰσράηλος ἂν εἴπῃ·
2 Εἰ μὴ Ἄναξ τις ἔσκεν, ὃς ἡμῖν ἄγχι παρέστη,
Καὶ ἐπιτάρροθος ἦεν, ὅτ' ἐπ' ἀνέρες ἄμμιν ὄρουσαν.
3 Τόφρα κεν αἶψ' ἡμέας κατέπινον θύελλ λύσσῃ,
Ὠμύς τε ζωύς τ', ἐπεὶ κεχολώατο λίην.
4 Καί νύ κεν ἔν ἡμέας κατά τ' ἔκλυσεν ἄασετον ὕδωρ,
Ἄμμε δ' ὑπόδρυχα θῆκ', ἀτόρεός τε κῦμα ῥόοιο,
Ψυχλιὺ δ' ἡμετέρην ποταμὸς χειμάρροος ὦσε.
5 Καί κεν ὕδωρ παφλάζον ὑπέρβιον οἶδμαπ θῦον
Ἡμέας ἀμφεκάλυψε, φίλον τ' ἀπεαίνυτο θυμόν.
6 Αὐτὰρ Ἄναξ αἰνείδω, ὅ, τε σφετέρῃσιν ὀδοῦσιν
Ἡμέας οὐκ εἴασεν ἔλωρ κὴ κύρμα γενέσζ.
7 Ὡς δ' ὅθ' ὑπεκπτόφυγεν θολίην παγίδ' ἄσμενος ὄρνις
Ἀνέρος ἰξευτέω, κὴ ἀλάβατο κῆρα μέλαιναν·
Ὡς ἡμέων τε ψυχὴ ὑπέκφυγεν αἰπτὺ ὄλεθρον·
Λῦτο παγὶς θολόεσσα, κὴ ἡμῖν φυκτὰ πέλονται.
8 Εἶλαρ τ' ἄμμι κὴ ἔρμα πέλει ὄνομ' Ἀθανάτοιο,
Οὐρανὸν ὃς ποίησεν, ἰδὲ χθόνα πυκνοβότειραν.

Ψαλ.

Ψαλ. ρκέ. 125

1 Οἱ θαρ' Ἄνακτι πεποίθασιν πάσιωοί τε πέλονται,
Οἵδ' ἄρα ὡς Σιῶνος, ὅ, τ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
Εὖ ὑπένερθεν ἄρηρε δινεκέεσσι θεμέθλοις,
Ῥιζηϊσὶν δ' ἱερῇσι, μένει δέ τε ἤματα πάντα.
2 Ὡς ὄρεα σκιόεντ' ἀμφὶ πόλιν Ἱεροσολύμων·
Οὕτω κὴ Θεὸς ὄζιν ἔὸν περὶ τ' ἀμφί τε λαὸν,
Καὶ νῦν, κὴ μετόπισθ' ἔσεται ἀλεξέ τ' ἀμπερὲς αἰεί.
3 Οὐ γὰρ ἂν εὐσεβέων κλήρῳ ἔπι ῥάβδος ἀλιτρέων
Μίμνοι (ἵνα μὴ γὰρ αὖθ' αἰεὶ τὰ χερείονα νικᾷ)
Οὐδὲ σφέας πλαγῇσι δινεκέεσσι δαμάζοι·
Μή ποτ' ἐπ' αἴσυλα ἔργα φερσίατο φῦλα δικαίων,
Σφῇσί τε χερσὶ κάκ' ἐρέμνυαί σφέας θυμὸς ἀνώγοι.
4 Ἀθάνατ', ἐθλοῖς ἐσθλὰ δίδου, ἠδ' ὅλβον ὄπαζε,
Οἷς κραδίη ἰθεῖα, νόος δέ τ' ἐναίσιμός ὄζιν.
5 Οἳ δέ τ' ἀπαδαλίῃσι παρὲξ ὁδὸν ἰθυπέρειοι
Ἐς σκολιὰ σφέτερ' ἔργα παρεκλιδὸν ὠρμήθησαν,
Τοὺς ἅμ' ἀλιτροῖσιν Θεὸς ἐκβαλέει, ὠδ' ἐλέησεν·
Ὅλβος δ' Ἰσραήλῳ ἰδ' εἰρήνη ἅλις ἔσται.

Ψαλ. ρκς'. 126.

1 Ὁππότ' Ἄναξ ὃν λαὸν ἀνήγαγεν ὄνδε δόμονδε,
Οἵ τε Σιώνιοι ὀφὲ φίλιμ ἐς πατρίδα γαῖαν
Εἰρέρες ἐξ αἰνοῖο Θεῷ ἰότητι νέοντο·
Γηθοσύνῃ οὔπω ὠϊόμεθ' ὧδε γενέσθαι,
Ὡς εἰ νήδυμος ἄμμιν ἐνύπνιον ἦλθεν ὄνειρος.
2 Καὶ τότε δὴ στόματ' ἄμμιν ἐϋφροσύνῃ τε γέλῳ τε
Ἔβρυε, θεσπεσίας γλῶσσαί τ' ἔντιμον ἀοιδάς·
Καὶ τότε πς εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον
Ἐν λαοῖς· Τῶνδ' εἵνεκ' Ἄναξ μάλα μέρμερα ῥέξε.
3 Ἦ θὴν ἡμέων εἵνεκ' Ἄναξ μάλα μέρμερα ῥέξε·
Τὤνεκεν ἄμμι τε θυμὸς ἐϋφροσύνῃσιν ἰάνθη.
4 Ἄμμε δ' ἀλόντας, Ἄναξ, πλὴν τ' ἀπὸ πατρίδος αἴης,
Δηθά τ' ἀποπλαγχθέντας, ἐφ' ἡμέτερ' αὖθις ἀγίνει,

Λαὸν

Λαόν τε σεφρον δῆς ὑπότροπον οἴκαδ' ἱκέσθαι·
Ἦ κεν ὁδὸς γλυκερὴ καὶ ἐπήρατος ἄμμι γένοιτο,
Ὡς ποταμοῖο ῥέεθρα μεσημβρείην κατὰ χῶρον,
Ἔνθ' ἄφαρ ἀρδμοὶ ἔασι, γέγηθε δέ τε φρένα ποιμήν.
5 Δάκρυσιν οἳ σπείρουσιν, ἰδὲ κλαυθμῷ ἀλεγεινῷ,
Χάρμασιν ἀμήσουσιν, εὐφροσύνη τε νόος.
6 Ὃς δ' ἂν ὁδὸν βαίνῃ ἄμυδις, καὶ δάκρυα λείβῃ,
Βῆλον σπέρμα φέρων, ἑτεὸν δ' ὄγ' ἐλεύσεται αὖθις
Γηθόσυνος κραδίῃ, καὶ εὐφροσύνῃσιν ἰαυθείς,
Δράγματα πολλὰ φέρων, καὶ ἀμάλλας βαπταγείρας.

Ψαλ. ρκζ. 127

1 Εἰ μὴ οἶκον ἔδειμε θεὸν μένος Ἀθανάτοιο,
Μὰψ αὖτως ἐμόγησαν ἀγηνύσῳ ὀπὶ ἔργῳ
Τέκτονες· εἰ μὴ Ἄναξ ῥύεται πόλιν ἠδὲ φυλάσσει,
Μὰψ ὁ φύλαξ ἐμόγησεν, ἀϋπνυς νύκτας ἰαύων.
2 Μὰψ αὖτως κάματόν τε καὶ ἄλγεα πολλὰ πέποσθε,
Πρωὶ μάλ' ἐγρόμενοί τε, μάλ' ὀψέ τε κακκείοντες,
Σῖτον ἔδοντες ἐταῖρον· ὀϊζυρὸς πόνοιο.
Ὡς γὰρ ὄγ' ὕπνον ἔδωκε, καὶ ἀνδράσιν, ὃς ἐφίλησε.
3 Παῖδες κλῆρος ἔασι, τὸν ἀνθρώποισι δίδωσιν
Ἀθάνατος· τῷ δ' ἐκ δόσις ἔπλετο καὶ γέρας ἐσθλὸν
Γαστέρος ἐκπρύτως καρπός τε τόκος τε γυναικός,
4 Ἷοι ὥς ἐν χειρὶ πελωρίου ἀλκίμου ἀνδρός·
Τοῖά τε τέκνα πέλει, ἅ, τε κυδοιδόος τις ἔπλεν.
5 Ὄλβιος, ᾧ τοίσδεσσι μάλα βρίθουσα φαρέτρη·
Οὐκ ἂν οἱ αἰσχυνθεῖεν, ὅτ' ἀνδράσιν εἰνὶ πύλῃσιν
Ἀντιβίοισιν ὁμιλεῦντες, δίκῃ ἀμπάσωσιν.

Ψαλ.

Ψαλ. ρκη'. 128

1 Ὄλβιος, ὅς τις ἀνὴρ ἧσι φρεσὶν ἄζετ' Ἄνακτα,
Τῆς τ' ὁπὸς τρομέων, στείχων θ' ὁδὸν ἣν ἐπέτειλε.
2 Καρπὸν ἐπεὶ κεν ξεῖα φέρῃ σοι γαῖα τεῇσι
Χερσὶν ἀρηρομένη, κάματόν τε σὸν αὐτὸς ἔδηαι·
Ὤς ἄλις ὄλβον ἔχων μάκαρ ἔσσεαι, εὖ δέ τοι ἔσται.
3 Σὴ ἄλοχός τε φίλη, ὡς ἡμεῖς ἀγλαόκαρπος,
Βείθυια σταφυλῇσι παραὶ τοίχοισι δόμοιο·
Τέκνα δ' ἶσα φυτοῖσιν ἐλαίης τηλεθοώσης,
Καλὸν ἰδεῖν, ἱερῷ ἐνὶ κύκλῳ ἀμφὶ τράπεζαν.
4 Ὤς μάκαρ ἔσσ' ὄλβος ἀνὴρ, ὧς τ' ἔσσεται ὀλβιοδαίμων,
Ὅς φρεσὶν αἰδέσεται ἱερὸν μύθον Ἀθανάτοιο.
5 Ἐκ Σιὼν ὄναξ σοί τε ἀθέσφατον ὄλβον ὀρέξει,
Μυεία δ' ὧρα διδές· ἀρετῶντα δ' Ἱερσόλυμα,
Ὅσσα θ' οἱ ἑδλὰ πέληται, ἐσόψεαι, εἰσόκ' ἀϋτμὴ
Ἐν σήθεσι μύῃ, καί τοι φίλα γένατ' ὀράᾳ.
6 Ἀλλά γε κὴ παῖδας παίδων σέθεν ἐκγεγαῶτας
Ὄψεαι, εἰρήνῃσιν Ἰσραήλοιό τε πολλήν.

Ψαλ. ρκθ'. 129.

1 Πολλάκι μοι μαχέσαντο κὴ ἀντιδίην πολέμιζον,
Ἠδέ μοι ἄλγεα πολλὰ δόσαν βεθοὶ ἐκ νεότητος,
Ὀφρ' ἔπι τηλίκος ἦν, νῦν Ἰσράηλος ἂν εἴποι.
2 Πολλάκι μοι μαχέσαντο κὴ ἀντιδίην πολέμιζον,
Ἠδέ μοι ἄλγεα πολλὰ δόσαν βεθοὶ ἐκ νεότητος,
Ὀφρ' ἔπι τηλίκος ἦν· ἀλλ' ὅ μοι κρείσσονες ἦσαν,
Οὔτ' ἄρα νικῆσαί με δυήσαντό ποτ', οὔτε δαμάσσαι.
3 Νῶτον ἐμὸν γ' ἀρότῆρες ἀρήρεσαν, ὤλκα βαθεῖαν
Ἔνθα κὴ ἔνθα τανύοντες, ἐμάκρυναν δέ τε ὄγμους.
4 Εὐδικίῃσι κέκασεν Ἄναξ, δεσμούς τε λύγας τε
Ῥῆξε Δικαιμήξας ἀνδρῶν κακὰ μηχανοώντων.
5 Αἰσχυνθεῖεν ὁμῶς, κὴ ἀποστρεφθεῖεν ὀπίσσω
Πάντες, ὅσοι Σιῶνι κακὰ φρονέουσ' ἐνὶ θυμῷ.
6 Εἶεν δ' ἠΰτε ποίη ἐπ' ἀκροτάτοισι δόμοισιν,

Ἥ τε μαραίνεται αἶψα, πάρος πνά μιν καταμάψαι,
Χερσὶν ἀποῤῥέψαντα, μινυωθάδιος δέ οἱ αἰών·
7 Τῆς δ' οὔτ' ἀμπτὴρ κατ' ἀρέρας ὄγμον ἐλαύνων
Ἦν χεῖρ', οὐδέ τ' ἀμαλλοδετὴρ ὃν πώποτε κόλπον
Ἐμπιπλᾷ, ὃς δράξματ' ἐν ἐλλεδανοῖσιν ἔδησεν.
8 Οὐδέ πυ οἱ παριόντες ὀδίτας ὧδ' ἐρέουσιν,
Υ̓́μμι φιλοφροσύνη, γάεις Ἀθανάτοιό τ' ὀπηδοί·
Υ̓́μμιν ἐν ἄνθεμα κρατεῖ δέ τε Ἀθανάτοιο
Εὐχόμεθ' εἰρήνην τε καὶ ὄλβια πάντα γενέσθαι.

Ψαλ. ρλ'. ΙΖ Υ.

1 Βτοσύθεν εὐχόμενός σοι ἀνέκραγον, ὀδ' ἔβόησα·
Ἐκ δεινοῖό τ', Ἄναξ, ὄπασι σοι φρένα βερέθρου.
2 Σώσε, Ἄναξ καὶ ἄκουσον, ἐμῆς τ' ὀπικέκλυθι φωνῆς,
Οὔασι καὶ φρεσὶ δέξαι ἐμεῦ ὄπα λιτομιθμοιο.
3 Ἀθάνατ', ἦν σύγ' ἀταθαλίας φρεσὶν ὀξὺ νοήσῃς,
Ἀθάνατ', εἰνὶ δίκῃσι τίς ἄν ποτ' ἀναίτιος εἴη;
4 Σοὶ δ' ἔνι μειλιχίη, ἵνα σε βροτοὶ αἰδέσσονται.
5 Δέγμενος Ἀθάνατον μίμνω τετληότι θυμῷ,
Δέγμενός οἱ ἔπι ἔλπομαι, ἔῳ δ' ὑπεποίθεα μύθῳ.
6 Ἀθάνατον δ' αἰεὶ μίμνω τετληότι θυμῷ·
Οὐ τόσσον φύλακες, φυλακὴ ἀδδηκότες αἰνὴ
Νυκτιεινὴ, μίμνουσιν ἀεὶ ποτιδέγμενοι ἠῶ,
Ἠῶ φαινομένην ποτιδέγμενοι, ὅσσον ἐμοὶ κὴρ
Νωλεμὲς Ἀθάνατον μίμνει ποτιδέγμενον ἔμπης.
7 Ἀθανάτῳ πίσυνος πέλοι Ἰσραὴλος ἀμύμων,
Οὕνεκεν Ἀθανάτῳ ἔλεός τ' ἔνι μειλιχίη τε·
Τῷ τ' αἰεὶ φίλον ἔς' ἄνδρας κακοὺ ἐξαναλῦσαι.
8 Λύσει ὃ περφραν Ἰσραήλοιο φυλήν,
Αὐτῆς τ' ἐκ πασέων μιν ῥύσετ' ἀταθαλιάων.

Ψαλ. ρλα'. ΙΘ Α.

1 Ἀθάνατ', οὔ μοι θυμὸς ὑπέρβιος, οὐδέ μοι ὄσσε
Ὑψι μάλ' ὑπερέχονται ἀγηνορίησι νόοιο·
Οὐδὲ μενοινάω μεγάλα φρεσὶ, μίκρ' ἀμείρω τ' ἔργα,

Ὅσσ'

Ὅσ' ὑπὲρ αἶσαν ἔασ', ἐπεὶ οὔ μοι ταῦτα μέμηλεν.
2 Ἀλλ' ἀγανοφρσύνῃ νόον ἐν στήθεσσιν ἔθελξα,
Ἤπιος, ἀμπαύων· βρέφος ὡς, ὅ, τε θήσατο μαζόν
Μητρὸς, ἐμὴ ψυχὴ βρέφος ὡς, ὅ, τε θήσατο μαζόν.
3 Ἰσραὴλε, Θεὸν ποπδίγμψος ἐλπίδα θείης
Καὶ νῦν ϗ μετέπειτα ἀθμπερὲς ἤματα πάντα.

Ψαλ. ρλϛ'. 192

1 Δαβίδαο, Ἄναξ, μιμνήσκεο, μηδέ σε λήθῃ
Αἴρεσις, ὡς πολλὰ ἔπαθεν, ϗ πολλὰ ἐμόγησεν.
2 Ὡς ὄμοσ' Ἀθανάτῳ, κρατερῷ τε Θεῷ Ἰακώβου
Εὔχετο φέρφεσι θυμῷ, ὑποσσάς, εἶπέ τε μῦθον.
3 Οὔποτ ἐμὴν κλισίην ἐσελεύσομαι, οὐτέ ποτ' οἶκον,
Οὔθ' ὑποδὺς θάλαμόν ποτ' ἐμῆς δάπεδήσομαι εὐνῆς·
4 Οὐδέ μοι ὀφθαλμοὺς μαλακὸν φὲι κῶμα καλύψει,
Ὕπνον τ' οὐδ' ὀλίγον περ ἐμοῖς βλεφάρεσσιν ἐφήσω·
5 Πρὶν ἕδος Ἀθανάτῳ, κρατερῷ τε Θεῷ Ἰακώβου
Οἶκον ἐφευρέμενα, ὅθι οἱ ναίειν φίλον εἴη.
6 Τῦδ' ἄρα πυνθανόμεθα κατ' Ἔφρατα, καὶ μιν ἔπειτα
Εὕρομεν ἐν βήσσῃσιν ἀνὰ δρυμὰ πυκνὰ ϗ ὕλην.
7 Ἰξόμεθ' ἐς κλισίην, ἱκέτας δέ οἱ εὐξόμεθ' ἔδρης,
Περφερκυλινδόμενοι, ἵνα οἱ θρῆνυς ποσὶν ᾖσιν.
8 Ὄρσεο, Παμβασιλεῦ, τεὸν εἰς ἕδος ἀσφαλὲς αἰεὶ
Καὶ κατὰ παυμὶ ἀναβὰς, ὅθι τοι φίλον ᾖσι καθίζειν·
Ὄρσεό τ' αὐτὸς σὺ, κράτος δέ τε σοῖο κιβωτός.
9 Εὐδικίην ἑσσαίαθ' ὁμῦ τεοὶ ἀρητῆρες·
Σοί δ' ὅσιοι μάλ' ἀγαλλόμενοι κεχαρίατο θυμῷ.
10 Εἵνεκα Δαβίδαο τεῦ θεράποντος ἄκουσον,
Μηδ' αὐτῦ νοσφίζου, ὃν ἔχρισας λίπ' ἐλαίῳ.
11 Εἶπεν Ἄναξ Δαβίδῃ, ἰδ' ὤμοσε καρτερὸν ὅρκον,
Οὐδέ τι μάψ. ἐπεὶ ἀπαλινάγρετον, ὐδ' ἀπατηλὸν,
Οὐδ' ἀτελεύτητόν γ', ὅ, τι κεν Θεὸς αὐτὸς ὀμόσσῃ·
Νημερτέως τόδε ἔσκε οἱ ὑπέρτατον, ϗ κατένευσεν,
Ἦ πνὶ τῆς παίδων, οἵπερ σέθεν ἐκγεγάασι,
Σκῆπτρόν τ' ἠδὲ θέμιστας ἐνὶ λαοῖσιν ὀπάσσω,

Ἀμφιέπειν, ὁ δὲ σὺν τε θρόνον βασιλήϊον ἕξει.
12 Εἰ ἢ φυλάξουσιν παῖδες τεοὶ ὅρκια πισά,
Συνθεσίας δέ τ' ἐμὰς κὴ ἐφετμὰς, ἃς κ' ὀπιτείλω·
Καί νύ κεν αὐτῶν παῖδες ὄπι θρόνῳ, ᾧ σὺ πάρῃσθα, πέρ,
Ἔνθα καθίζοιεν, ἀεὶ τ' ἀμπερὲς ἤματα πάντα,
Καὶ παῖδες παίδων, τοί κεν μετόπιδε γένωνται.
13 Οὕνεκ' Ἄναξ γαίης Σιῶν' ἐκλέξατο πάσης,
Τῆς δέ μιν ἵμερος εἷλ', ἵν' οἱ ἢ ἕδρᾳ, ἔνθα τε ναίῃ.
14 Τοῦτο δέ μευ κατάπαυμα ἀμπερές· (ὡς γὰρ ἔειπεν)
Ἐνθάδε τ' οἰκήσω, ὅτι με γλυκὺς ἵμερος αἱρεῖ.
15 Σῖτος δ' οἱ ἄλις ἔσαι, ἐνιπλήσω δέ μιν ὄλβῳ·
Πτωχοῖσιν δ' αὐτῆς θήσω μενοεικέ' ἐδωδήν,
Ἐδέμβναι, ἵνα μὴ ἄρτι ὀπιδευέες ὦσι.
16 Ἱρῆας ἢ φόως κὴ ἀρωγὴν εἵματα ἕσσω,
Ἠδὲ μάλ' ἐνδυκέως σφέας ξύσομαι ἠδὲ σαώσω·
Χάρμ' ὁσίοισί θ' ἑοῖσι μέγ' ἔσσεται, ἠδ' ἀλαλαγμός.
17 Ἔνθα κε Δαβίδαο κέρας κὴ κδδος ἀέξων
Θρέψω, ὡς ὅτε ἔργος ἀνὴρ ἐειδηλὲς ἀέξῃ,
Καὶ θρέψῃ· μέγα ἢ χειροῖϊν τ' ἐμοῖο μεμηλὼς
Λύχνον ἑτοῖμον ἔθηκα, φάος τε οἱ ἔμμβ' ὀπάσσω,
Ὄφρα μὴ ἀσπερμος γλυκὴ κὴ ἄφαντος ὄληται.
18 Ἀμφὶ ἢ δυσμενέας λαοῖσιν κάκ' ὀνείδεά θ' ἕσσω·
Ἀλλ' οἱ ὅπι κρατὶ στέφανος θαλίῃ ἐνὶ πολλῇ
Ἀνθήσει, πλῆτος ἢ κὴ εἰρήνη ἅλις ἔσαι.

Ψαλ. ρλγ΄. 133.

1 Ὡς ἀγαθὸν κὴ τερπνὸν ἰδεῖν ἐείπρας ἀδελφοὺς,
Οἳ θ' ἅμα ναιετάουσιν ὁμοφροσύνῃσι νόοιο,
Ἀλλήλοισι φίλοι, κὴ ἕνα φρεσὶ θυμὸν ἔχοντες.
2 Οἷον ἐπ' αἰθρίῃ κεφαλῇ ςῶδες ἔλαιον,
Τιμῆεν, τὸ δέ τ' ἧκα κατείβετ' ἐς ἀνθερεῶνα,
Ἀνθερεῶν' Ἀαρῶνος ἀμύμονος ἀρητῆος·
Τῆ δ' ὁδὸν ἡδεῖα ἀπὸ κράτεσφιν ὁδώδει
Ἐκχυμένοιο μύρου, δεύοντο ἢ μάγματι κόλποι,
Ἀμβροσίῳ, ἑδανῷ, τὸ δέ θ' εἵματα κάλ' ἐδίηνε,

Καθδ'

Καδδ' ἔδη ἐς δυσάνυς, ϗ τερμύοντα χιτῶνα.
3 Ὡς δ' ὅτ' ἐφ' Ἑρμῶνος ποδυφὰς ῥαδάμιγγες ἔερσης
Οὐρανόθεν πίπτουσ', ὅθι τ' ὄρεα μακρὰ Σιῶνος,
Τῷ μάλα πὰρ ὑπ' ὄδας, ἐπεὶ τεθαλῦῖαν ἐέρσῃ
Πρωϊκὲς τε γλυκερὰς ἔπι ζείδωρος ἄρουρα·
Ἔνθα γὰ ἀνθρώποισι Θεὸς θαλίην τε χάριν τε,
Ὄλβον τε ζωὴν τε ἀμύμονες αἰὲν ἔθηκε.

Ψαλ. ρλδ'. 134

1 ΔΕῦτ' ἄγεθ' ὑμνεύοντες ἀείδετε Παμβασιλῆα,
Πάντες ὅσοι θεράποντες ἰδὶ ἄγγελοί ἐστε Θεοῖο,
Ἑσπόμενοι ἀμὲ νύκτας ἐν Ἀθανάτοιο δόμοισι.
2 Χεῖρας ἀναχόμβυσι αὐτῷ ἐνὶ πίονι νηῷ
Μέλπετε ϗ αἰνεῖθ' ἱερὸν μόθος Ἀθανάτοιο.
3 Σοὶ γὰ Θεὸς μάλα πάντα Σιωνόθεν ὄλεια δοίη,
Ὃς γαῖαν ποίησε, ϗ οὐρανὸν ἀστερόεντα.

Ψαλ. ρλε'. 135.

1 ΥΜνεῖτ' Ἀθάνατον, ϗ ἀείδετε οὔνομ' Ἄνακτος,
Ὑμνεῖτ', ὦ θεράποντες ἀμύμονες Ἀθανάτοιο.
2 Ὑμμες οἱ ἑσπόμενοι ϗ ἐν Ἀθανάτοιο δόμοισιν,
Ἱερῷ εἰν αὐλῇσι δόμῳ Θεοῦ ἡμετέροιο.
3 Κλείετ' Ἄναχθ', ὅτι ἐς ἀγαθὸς· λιγυρῇσι γὰ μολπῇς
Αὐτῷ οὔνομ' ἀείδετ', ἐπεὶ πολυήρατόν ἐστιν.
4 Ἐκ γὰρ Ἄναξ Ἰάκωβον ἐλέξατό οἱ περὶ πάντων,
Καὶ Ἰσράηλον κτέρας οἱ ἐξαίρετον ἔθη.
5 Οἶδα γὰρ ὕτεκ' Ἄναξ μέγας ἔπλετο, ϗ Θεὸς ἡμὸς
Κάρτεΐ τε σεφεδέβηκε, θεῶν πέρι τ' ὄξιν ἁπάντων.
6 Ἔρξεν ὅπως ἐθέλει ἱερὸν μένος Ἀθανάτοιο
Γαίῃ ἐν εὐρείῃ, ἔν τ' οὐρανῷ, ἔν τε θαλάσσῃ,
Ἔν βένθεσί τε πᾶσιν, ὅ οἱ φίλον ἔπλετο θυμῷ.
7 Τηλόθεν ἐκ γαίης, ὅθι τ' ἔχματα πείρατ' ἔασιν,
Ἐξάγαγεν νεφέλας, ϗ ἐς αἰθέρα δῖαν ἄειρεν
Ἀγκρεμάσας, στεροπὴν θ' ϗ ὑετὸν ἐγκατέμυξε,
Θεσπέσιμα ἰδέειν, δεινὸν θ' ἁέλας μερόπεσσι φανῆναι·

Ἐκ θαλάμων δ', ὅθι οἱ κειμήλια πολλὰ τέτυκται,
Χεύατο παντοίων ἀνέμων λαιψηρὰ κέλευθα.
8 Ὃς κὴ πεντετάκης ἐριβώλακος Αἰγύπτοιο
Κτεῖν', ἀνδρῶν, θηρῶν τε, μιῇ κὴ ἀπώλεσεν αὔσῃ.
9 Ὅσσαπερ πολλὰ πάλαι σημήια σοὶ ἐνὶ μέσῃ,
Αἴγυπ', ἀμφασὶ θῆκεν, ἔπηξε δ' μέρμερα ἔργα
Ἐν Φαραωνί θ' ἅμα, δμωσὶ τε πᾶσιν ἑοῖσιν.
10 Ὃς κὴ πολλάων πόλεων κατέλυσε κάρηνα,
Καὶ κρατὲρ ἔθνεα πέρσε, κὴ ἔκτανε τὺς βασιλῆας,
Ἰφθίμους, μεγάλους, σθῆ τε δέν☉ ὐκ ἀλαπαδνόν.
11 Σηῶνα κρατερόφρον', Ἀμορραίων βασιλῆα,
Καὶ Βασάνοιο μέδοντα, πελώριον ὄβριμον Ὤγον·
Ὅσσοι τ' ἐν Χαναᾶνι θεόνοι βασιλῆοι ἦσαν·
12 Τῶν δέ τε γᾶαν ἔνειμε Δημιοῦρὲς εὖ κτὶ μοῖραν,
Καὶ Δαβιδαστάμβ☉ κτῆσιν κὴ κλῆρον ἔδωκε,
Κλῆρον δ' Ἰσραήλῳ, ἀμύμονι ᾧ θεράποντι.
13 Ἀθάνατ', ὄνομά σευ ἄλλητὸν τ' ἤματα πάντα
Μίμνει, μνημόσυνον θ' τεὸν Δφό τ' ἀμπερὲς αἰεί,
Πάσῃσιν γενεῇς, σὸν τε κλέ☉ οὔποτ' ὀλεῖται.
14 Ἀθάνατ☉ γὰρ ἑοῖο θεμιζεύσει λαοῖο,
Σημανέει τε κὴ ἵλα☉ δμώεσσιν ἑοῖσιν,
Μῆνιν ἀποξέψει, ὅπῃ τε γνάμψει φίλον ἦτορ.
15 Εἴδωλα χρυσός τε κὴ ἄργυρ☉, οἷσι πέποιθεν
Ἔθνεα, κὴ βροτέης τεχνήματα χειρὸς ἔασι.
16 Τὰ σώματά σφιν ἔασ', ἀλλ' οὔποτε γῆρως ἐεῖσιν·
Ὀφθαλμὺς μὲ ἔχυσιν, ὅμως δέ τε οὐδὲν ὁρῶνται.
17 Οὔατά τέ σφιν ἔασ', ἀλλ' οὔπι☉ ἔκλυον αὐδῆς·
Οὐδ' ἄρα πις σφετέρῃσιν ἐνὶ στομάτεσσιν ἀΰτμή.
18 Τῶν δέ τε τέκτονες ἄνδρες ὁμοῖοι τοῖσι πέλονται·
Τοιοῦτοι κὴ ἅπαντες, ὅσοι σφιν θάρσεσσοί εἰσι.
19 Κλείε[᾽Ανακτά γε ὔμμες, οἱ ἥῆες Ἰσραήλ·
Κλείετ᾽ ᾽Ανακτα κὴ ὔμμες, οἱ ἔκγονοί ἐς᾽ Ἀαρών☉.
20 Κλείετ᾽ ᾽Αναχθ', ὅσσοι Λευίπδες ἔσε γενέθλης·
Κλείετ᾽ ᾽Αναχθ', ὅσσοι ἱερὸν μῶ☉ Ἀθανάτοιο
Ἐν θυμῷ ἄζεσθε, κὴ οἷς νό☉ ὄρθι θεσθής.

21 Ἐκ

21 Ἐκ Σιῶνος ἀειδέσθω κλέος Ἀθανάτοιο
Αἴτιός θ', ὃς Σάλυμα κλυτὰ ναίει. Κλείετε Ἄνακτα.

Ψαλ. ρλς'. 136.

1 Κλείετ' Ἄνακτ', ἐπεὶ ἀγαθὸς καὶ μείλιχός ἐστιν,
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
2 Κλείετε τὸν πάντων ὕπατον θεὸν οὐρανιώνων·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
3 Κλείετε Παμβασιλῆα, ὅ, τε κοίρανος ἔξιν ἀνάκτων·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
4 Μοῦνος ὃ μέρμερα ἔργα, καὶ ἄσπετα θαύματα ῥέζει·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
5 Οὐρανὸν ὃς ποίησεν ὑπερφιάλοισι νόοιο·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
6 Ὃς δ' ὑπὲρ ὑγρὸν ὕδωρ ἐπέτασσεν ἀπείρονα γαῖαν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
7 Τεῦξε δὲ λαμπτῆρας μεγάλους, ὄφρα καλλέα φῶτα·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
8 Ἥλιον οὐρανῷ ὄμμα, βίᾳ φάος, ἤματος ἀρχόν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
9 Μιύλλῳ τε πλῆθουσαν ἅμ' ἄστρασι, νυκτὸς ἄνασσαν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
10 Ὃς καὶ πρωτότοκα πλῆξεν Μεμφίτιδος αἶπος·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
11 Τῶνδε κὴ ἐκ μέσσων ἄγαγε κλυτὸν Ἰσράηλον·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
12 Ἰφθίμῃ μάλα χειρὶ, βραχίονί θ' ὑψόσ' ὀρεκτῷ·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλε.
13 Πόντον ἐρυθραῖον διέτ' ἔσσεν ἔνδια καὶ ἔνδια·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
14 Ἰσράηλῳ ὁδὸν τ' ἴσαν διὰ μέσσον ἔθηκεν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
15 Ἐκ δ' ὦσεν Φαραῶνα, καὶ ὃν στρατὸν εἰς ἅλ' ἐρυθρὴν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ οὔποτ' ὀλωλεν.
16 Ὃς τ' ἄγαγ' ὃν λαὸν δι' ἐρημάδα γαῖαν ὁδίτην.

Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλεν.
17 Ὃς μεγάλους δήωσε καὶ ἰφθίμους βασιλῆας·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.
18 Καὶ κυδρὺς βασιλῆας ἀγακλειτούς τε κατέκτα·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.
19 Σηῶνα κρατερόφρεγν' Ἀμορραίων βασιλῆα·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.
20 Καὶ Βασάνοιο μέδοντα, πελώριον ὄβριμον Ὦγον·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.
21 Τῶν δέ τε γῆν νείμας κτῆσιν κλῆρον ἔδωκεν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.
22 Κλῆρον δ' Ἰσραήλῳ ἀμύμονι ᾧ θεράποντι·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλεν.
23 Ὃς δ' ἡμέων ἐμνήσατ' ὀϊζύος ἤματι λυγρῷ·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλεν.
24 Ἐκ δ' ἄρα τῶνδε σάωσ', οἱ ἀνάρσιοι ἄμμι γένοντο·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλεν.
25 Ὃς πᾶσι ζωοῖσι δίδοῖ μβροσιηέ' ἐδωδήν.
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλεν.
26 Κλείετ' ἀοιδῇσιν Θεὸν, ὅς τ' ἔχει ἠρανὸν εὐρύν·
Οὕνεκα μείλιχός ἐς', ἔλεος δέ οἱ ἔπποτ' ὄλωλε.

Ψαλ. ρλζ'. 137.

1 ΠΑ'Ρ ποταμὸς Βαβυλῶνος, ἐπ' Εὐφρήταο ῥοῇσιν,
Ἔνθα καθεζόμβροι ἐκλαίομεν, ὄφρα Σιῶνος
Μνησάμεθα γλυκερῆς, δεύοντο δ' δάκρυσι κόλποι,
Τῆσδε γὰρ αἰνῶς ἄμμιν ὑφ' ἵμερος ὦρτο γόοιο.
2 Φόρμιγγας δὲ μελιφθόγγως χλοερῇσιν ἐπ' ὄζοις
(Ἔνθα γὰρ ἵτεαι ἦσαν ἅλις ποταμοῖο παρ' ὄχθας)
Θήκαμεν ἀγκρεμάσαντες, ἐπεὶ ἔρος ὦλεν ἀοιδῆς.
3 Καὶ γὰρ ἀνάρσιοι ἄνδρες, οἳ ἡμέας τηλόθι πάτρης
Γαῖαν ἐς ἀλλοδαπὴν ἄγαγον δαμάσαντες ἀνάγκῃ,
Καὶ πόλιν ἐξαλάπαξαν, ἰδ' ἡμέων πόνους ἀγρὺς
Ἔργα τ' ἐδήωσαν, τότ' ἀειδόντων ὄπ' ἀκοῦσαι
Ἤθελον ἡμείων, μολπῆς δέ σφ' ἵετο θυμός,

Οἵτι

Οἵην γνῶσιν τις ἐνὶ φρεσὶ τέρπετ' ἀκόων·
Ὡδὲ δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων·
Εἶδ' ἄγετ' Ἰσακίδαι, λιγυρῆς ἐξάρχετε μολπῆς,
Οἵην ἐν Σιῶνι πάλαι ἐντύετ' ἀοιδήν.
4 Καὶ πῶς Ἀθανάτῳ ἀναμέλψομεν ἱερὸν ὕμνον
Δήμῳ ἐν ἀλλοδαπῷ τηλοῦ ἀπὸ πατρίδος αἴης,
Ὡς ὅτε τ' ἄμμι πάροιθε Θεὸς φρεσὶν ἔμβαλεν οἴμας;
5 Εἰ δέ τ' ἐγώ ποτ' ἔοιμι λελασμένος Ἱερσολύμων,
Δεξιτερὴ κιθάρης μελιηδέος ἐκλελάθοιτο·
6 Ὦ Σόλυμ', ὦ πασέων πολὺ φιλτάτη ἄμμι πολήων,
Ἤην σύ μοι ἐκ θυμοῖο πέσῃς, αἱρῇ δέ με λήθη,
Γλῶσά μοι ἐν στόματι στερεφῆ τέ μευ ὑπερῴῃ
Μολπῆς τ' ἄμμορος εἴην, ἀκλιέ τε ᾖσιτο σιωπή·
Ἤην μή μοι μέγα χάρμα, κὴ εὐχωλὴ πέσει πάντων
Ἱερσόλυμά τ' ἔησι, τίω δέ μιν ἔξοχον ἄλλων.
7 Ἀθάνατ', ἤματι τῷ ὅταν Ἱερσόλυμα σαώσῃς,
Μνῆσαι Ἰδουμαίων, οἳ Πέρσαιτε, πέρσαι', ἔειπον,
Παυσυδὴν ἀλαπάξατ', ἵνα στερθέλυμνον ὄληται.
8 Ἀλλὰ σὺ γαιάων Βαβυλὼν πέλει κάμμορε πασέων,
Καὶ σύγ' ἐρημαίη ποτὲ ἔσεαι, ὥς νύ περ ἡμεῖς·
Τείς μάκαρ ἔστος ἀνὴρ, ὅς σοι κακὰ πολλὰ κεν ἔρδοι,
Οἷά περ ἄμμιν ἔρεξας, ἴν' ἄντιτα ἔργα γλύοιτο,
Καὶ σὺ τεῆς ἄτης ὀπιπεύσεα μισθὸν ἄροιο.
9 Τείς μάκαρ, ὅς σευ παῖδας ἕλοι, κὴ νήπια τέκνα,
Ἠδ' ἔπι πηλὸν ἐόντα βάλοι λίθακας ποτὶ πέτρας.

Ψαλ. ρλή'. 138.

1 Αἰνήσω σε, Ἄναξ, κὴ ἀείσω κηρόθι μᾶλλον·
Αἶνόν σευ ἀναφανδὰ θεῶν στεφάεσσιν ἀείσω.
2 Πρὸς τὸν ἱερὸν οἶκον ὁρώμενος ὡς ἱκετεύσω,
Καὶ κλυτὸν αἰνήσω τὸν ὄνομα, μειλιχίης τε
Εἵνεκ', ἀληθείης τε τεῆς· ὅτι σοῖσιν ἔπεσσι
Κύδηνας τὸν οὔνομ', ὅπως ὅτι πᾶσιν ἀειδῇ.
3 Ἤματι τῷ ὅτε σοι ἱκέτης λιῶ, ἠδ' ἐβόησα,
Σὺ στέφρων μευ ἄκουσας, ἰδὲ φρεσὶ κάρῃ ἔθηκας,

Πολλὸν

Πολλόν τε ψυχῆ μοι ἐνέταξας μένος ἠΰ.
4 Ἀθάνατ', ἦ ῥα σε πάντες ἅμ' ὄρχαμοι, ὅσσοι ἔασι,
Σκηπτοῦχοι βασιλῆες ὅτε χθονὶ χαιρανέοντες 7
Πάντες ἐπαυλήσουσιν, ἐπεὶ σὸν μῦθον ἄκουσαν,
Σιγή τ' ὄπα, ἀλαλατμοὶ ἔπεα φρεσὶν, οἷ' ἐγορεύεις. 8
5 Τιμήσουσι δ' ὁμοῦ ἱερὸν μένος Ἀθανάτοιο.
Κλείοντες τὰ ἃ ἔργ', ὅθι τ' ἤλυθεν, οἷά τ' ἔρεξεν.
Οὔνεκ' Ἄναξ μέγας ὀξὺ, καὶ οἱ μέγα κῦδος ὀπηδεῖ. 9
6 Τψηλὸς μὲν ἐὼν, οὐ ὑπέρταλα δώματα ναίων,
Ἀλλὰ καὶ ὧς χθαμαλοὺς, καὶ ἐπηετανὸν ἄνδρας ὁπωπεν
Ἐγγύθεν, αὐτὰρ ὑπερφιάλους μάλα πηλόθεν οἶδεν,
7 Εἰ δ' ἔχομαι κακότητι, μέσῳ τ' ἐν οἰζύϊ λυγρῇ 10
Πωλεῦμαι, σὺ δέ με ζωχρήσεις τειρόμενόν περ.
Χεῖρά σευ ἀντιβίων ἀνδρῶν ὅτε θυμὸν ὀρέξεις, 11
Μή π με σίνωνται, μάλα περ κεχολωμένοι ἔμπης·
Δεξιτερὴ δὲ τεὴ ἐμὲ ῥύσεται ἠδὲ σαώσει. 12
8 Ἀθάνατος τελέσει μοι, ὅ, τε κρηῆναι ἔμελλε·
Μειλιχίη ἦ τοι, ἔλεος δέ τε, ὦ σὺ κέκασσαι,
Ἀθάνατ', οὔποτ' ὄλωλε, μύει δέ τε ναιετάει αἰεί·
Τῷ σύγε μὴ χείρων ἔργα θεοῖς πεπίθηαι τελέων. 13

Ψαλ. ρλθ'. 139.

1 Ἠρεύνησας, Ἄναξ, με, καὶ ἔγνως σὸν κῆρ θυμόν. 14
2 Αἰεὶ μὲν δὴ ἐμοὶ σὺ παρίστασαι, ἠδέ σε λίνδω
Κινύμενος· νοέεις δ' ἔμ' ἢ ἔνθ' ἢ ἔνθα κιόντα·
Καὶ σὺ καθεζόμενον, καὶ ἀνιστάμενόν με δοκεύεις·
Εὖ καὶ πηλόθεν οἶδας ἐμοὺ μελεδήματα θυμοῦ. 15
3 Καί μ' αἰεὶ ὀπάων τ' ἀμφὶ τ' ἐὼν, σύ μοι ἄγχι παρέσσης,
Εἴτ' ἀν' ὁδὸν βαίνω, εἴτ' ἐν λέκτῳ κατάκειμαι·
Σοὶ καὶ ἀρίγνωτοι πᾶσαί μευ ἔασι κέλευθοι.
4 Οὐ γάρ πω γλώσσης μοι ἔπος, τόπερ οὐ σάφα οἶδας,
Ἀθάνατ', ἄξενον, πρὶν καὶ φύγεν ἔρκος ὀδόντων. 16
5 Πάντη μ' ἰχανόων ὄπιθεν καὶ πρόσθεν ἔεισας·
Ἔν τ' ἔβαλές μοι χεῖρ', ἵνα μήποτέ σε προφύγοιμι.
6 Ἦδη μοι ἰδρείη λίην πέλει θαῦμ' ἐτέτυκτο,

Τὴν

Τίω δ' οὔ πως δυύαμαι σάφα ἴδμεναι οὔτε νοῆσαι,
Οὕνεκά τε κρείσσων καὶ ὑπερτέρη ὅττιν ἐμεῖο.
7 Ὅππη ἐγὼ ἀπὸ σεῖο, τεῦ τε πνεύματος εἶμι;
Ἢ πόσε κεν φεύγοιμι τεῆς ἄπο νόσφιν ὀπωπῆς;
8 Εἰ μὲν γάρ τ' ἀναβαίνω ἐς ἠρανὸν εὐρυὺ ὕπερθεν,
Ἦ ῥα σὺ κεῖθι πέλεις· εἰ δ' εἰν ἀΐδαο δόμοισι
Νέρθεν ἐὼν λέχομαι ἐντύνων, σὺ καὶ ἔνθα πάρεσσι.
9 Εἰ δ' ἠΰς πτερύγεσσιν ἀειρθεὶς ἠελίοιο
(Ἦ τε πρωὶ μάλ' ὀρνυμένη μάλα ξίμφα ποτᾶται
Αἰθέρα καμμέσσιν, ἀφ' ὅ τ' ἔσχατα πείρατα γαίης)
Αὐτίκ' ἴων, καὶ ἐπ' ἐσχατιῇ ἁλὸς οἰκία ναίων·
10 Οὐδέ κεν ὥς σε λάθοιμι, τεὴ δέ με κεῖθι γ' ἔοντα
Χεὶρ ἂν ἄγοι φθάνυσα, καὶχάνοι δεξιτερήτε.
11 Εἰ δέ ποθι ὧδ' ἐρέω, Ἦ με σκότος ἀμφικαλύψει·
Ἀλλ' ἦν ἀμφί τέ μοι φάος ἔσσεται νυκτὸς ἀμολγῷ.
12 Οὐκ ἄν τις σε λάθοι κεκαλυμμένος ἠέρι πολλῇ·
Ἀλλὰ καὶ ὡς μὲν σόν γε μελαθράκοι ὄμμα φαεινόν·
Σοὶ δέ τε νὺξ ἐρεβεννὴ ὁμῶς μέσῳ ἤματι λάμπει,
Ἶσά τοι ἄμφω ἔασ', ἠμὲν ζόφος ἠδὲ καὶ αὐγή.
13 Νεφρεύς γάρ μευ, ἐμοῦ τε μυχοὶ ταλα μήδεα θυμοῦ
Οἶσθα σύ, κέκτησαί τε· πάλαι δ' ἐν γαστέρι μητρὸς
Λάθρη τε ξυνέπηξας ἐμὲ, χροΐ τ' ἀμφεκάλυψας.
14 Τοὔνεκά σ' αἰνήσω, σόν τε κλέος ἐσθλὸν ἀείσω,
Οὕνεκά τ' ἐκπάγλως ὕπο μέγα θαῦμα τέτυγμαι·
Ὡς τεὰ μέρμερα ἔργ', ἄ, τε θαυμάσσωσιν ἅπαντες·
Εὖ δέ τ' ἐγὼ τόδε οἶδα κατ' φρένα καὶ κατ' θυμόν·
15 Καὶ σύ γ' ἐμὸν δέμας οἶσθα, καὶ ὀστέα πάντα νόησας,
Οὐδέ τι σεῦ ἔλαθέν σ', ὅτε κρύβδα τετυγμένος ἦα·
Ὄφρα σὺ δαιδάλλων μ' ἔσκησας, θαῦμα ἰδέσθαι,
Τέχνῃ θεσπεσίῃ, σοῦ εἰδότος τεκτοσυνάων,
Νειόθι, κρυπταδίοις ὠσὶ ἐνὶ κεύθεσι γαίης.
16 Ὄφρ' ἔτι γ' ἔμβρυον ἦα, σύ μ' ὀφθαλμοῖσιν ὄπωπας
Ἠμιτέλεσσον ἐόντα φίλης ἐνὶ γαστέι μητρός·
Γεγράφαται δέ τε πάντα μευ ἄλφεα σῇ ἐνὶ βίβλῳ,
Εἴ περ μετόπισθε πρό μοὶ τ' ἄλλ' αὐτάρ ἔπ' ἄλλο,

Τίω

Ἐξείη

Ἐξείης τε ἔμελλε μετ' ἠματα πολλὰ πεπύχθαι,
Σοὶ δ' ἅμ' ἀείζηλ' ἔσχε, πρὶν ἢ τι τῶνδε γνώσθαι.
17 Οἷά μοι, ὥς τ' ἐρίπμα, Θεὸς, σὺ νοήματ' ἔκασι·
Τῶν δ' ὡς ἀπείρητός ἐστιν ἀριθμός.
18 Λίην γὰρ φαμάθοισιν ἐοικότα, ἢ ἔπι πλείω
Φαίνετ' ἔμεν, πεμπάζεσθαι ὅτε θυμὸς ἀνώγει·
Ὄφρα με ὕπνῳ ἀνῆκεν, ἐγὼ ἔτι σοί γε μέτειμι,
Καὶ ἐγερηγορέων σέ τ' ὀΐομαι ἠδὲ σὰ ἔργα.
19 Ἦ σὺ καταικτάμεναι ἐθέλεις, Θεὸς, ἄνδρας ἀλιτρούς·
Χάζεσθ' ἦν ἀπ' ἐμεῖο μιαιφόνοι, αἱματόεντες.
20 Σχέτλια γὰρ κατὰ σεῖο ἀτάσθαλα πολλά τ' ἔειπον·
Μαψιδίως κατὰ σεῖό τ' ἀνάρσιοι ἄνδρες ἄερθεν.
21 Ἦ οὔ μοι ἀπέχθονται, τοῖσιν σύ τ' ἀπέχθεαι αὐτὸς,
Ἀθάνατ'; ἐκ ἄρα τοῖς κῆρ ἄχθομαι, ἠδὲ νεμεσσῶ,
Οἵ σοι ἐναντίβιον κακά τε φρονέοντες ὄρουσαν.
22 Ἀλλά γ' ἀπέχθονται ἄμοτόν μοι κηρόθι μᾶλλον·
Ἐχθροὶ κατά μοι κεῖνοι ὁμῶς ἀΐδαο πύλῃσι,
Δυσμενέων τε μοι εἰσὶν ἐν ἄσῃ θυμοραϊστέων.
23 Εἰδ' ἄγ' ἐρεύνησόν με, Θεὸς, φρεσὶν, ὄφρ' εὖ εἰδῇς,
Γνωτή σοι κραδίη μευ ἐνὶ στήθεσι γένοιτο·
Πειρῶ ἐμεῖ, σὺ ἴδε τ' ἐμὰ μελεδήματα θυμοῦ.
24 Εἴσιδέ με, φράζεσθε, κἠ ὀφθαλμοῖσι δόκευε,
Εἴ πνά πῃ λυγρὴν θυμαλγέα τ' εἶμι κέλευθον,
Ἐσθλὴν δ', αἴ κ' ἔσσαν, ἐμοὶ ὁδὸν ἡγεμόνευε.

Ψαλ. ρμ΄. 140.

1 Ἀθάνατε, σεσῳφρον ἐῦσύ με ἀπ' ἀνδρὸς ἀλείτεω,
Ἐκ τε βίης με σάωσον ἀτάσθαλον ὕβριν ἐχόντων.
2 Ὧν κραδίη κακὰ μήδετ' ἐνὶ φρεσὶν, ἠδὲ φυτεύει
Οἳ ἐπεὶ ἦν ξυνιόντες ἀολλέες ἠγερέθονται,
Ἔνθα παγήμαρ ἐγείρουσιν πολέμους τε μάχας τε.
3 Γλώσσας μὴν τ', ὀλοὰς τ', ὄφις ὣς, θήγουσιν ὀδόντας·
Χείλεσι δ' ἀσπὶς ὑπὸ σφετέροισιν ἐτύχθη.
4 Ἀθάνατ', ἀνδρὸς ἀλείτεω ἐμοὶ ἀπὸ χεῖρας ἄμυνε·
Ῥῦσαί μ' ἐκ τε βίης ὑβριστέων ἠδὲ σάωσον·

Οἵ

Οἵ μοι ἔφαντο πόδας τ' ἐλάσαι, βλάψαι τε κελεύθῳ,
Καὶ βαίνοντά μ' ἀποσφῆλαι μεμάασιν ὁδοῖο.
5 Λάθρη ἔμοιγε βέοχυς ἤικαν, ξῶπάς τε λύγες τε
Ἄνδρες ὑπερφίαλοι κὴ ἀγήνορα θυμὸν ἔχοντες·
Ἀν' δ' ὁδὸν ᾗπερ ἴω πέτασαν λίνα ποσσὶν ἐμοῖσι,
Στῆσάν τε σκόλοπας παγίδας τε μοι, ὥς κεν ἁλώω.
6 Εἶπον Ἀνακτι, Σύ μοι Θεός ἐσσι· κλῦθι ᾗ φωνῆς
Εὐχομένοιο, Ἄναξ, κὴ ἐμῇσι ἐπάκυσε λιταῶν.
7 Ὅς τε Θεός μοι, Ἄναξ τε, φόως τε κὴ ἄσετον ἔρκος·
Ῥύσκου δὴ σύγε μοι, κόρυς ὡς, κάρη ἀμφικαλύψας,
Ἤματι τῷ ὅτε περ τε μάχῃ εἰσήλυθον ἀνδρῶν.
8 Μήποτε δυσεβέουσιν, Ἄναξ, κρήηνον ἐέλδωρ,
Μηδ' ἀρετᾶν σφιν ἔασον, ὅ, τι φρεσὶ μηχανόωνται,
Μή πω ὡς πολὺ μᾶλλον ἀγήνορα θυμὸν ἔχωσιν.
9 Οἵ με περισχόωνται, ἀποκλῆναι μεμαῶτες,
Τῶνδ' ὕβρεις τε βίη τε ἐπ' αὐτῇσι κράατα πίπτοι·
Σφὴ δ' ἄτη αὐτοῖσιν ὀπάσσειεν κακὸν εἶη,
Καὶ τεύγοιεν, ὅ, τι σφοῖσιν χείλεσι φύτευσαν,
Σφῆσι κακοξεφίης κεκαλυμμένοι, οἷ ἀγόρευσαν.
10 Τοῖσι κυλινδόμενοι πυρὸς ἄνθρακες αἰθομένοιο
Ἐνσκιμφθεῖεν· ὁ δέ σφεας ξίπποι, τοὶ δὲ πέσοιεν
Ἐν πυρὶ, ἔς τε βέρεθρον, ὅθεν πάλιν οὐκ ἀναβαῖεν.
11 Λαβραγόρης, ὅς τε γλώσσῃ κρύβδ' ἀνέρα δάκνει,
Μή ποτε δηναιὸς, μήδ' ἔμπεδον οἰκία ναίοι,
Ὠκύμορος δὲ μάλ' εἴη ἐπὶ χθονὶ, οἷ ἀγορεύει.
Καὶ κακὸν ἐξόπιθεν ἀταύθαλον ἄνδρα διώκοι,
Εἰσόκ' ἀνιχνεύσῃ τε κίχῃ, ὁ ᾗ πότμον ὀπάσῃ.
12 Οἶδ' ὅτ' Ἄναξ νεῖκος κρινέει κεχρημένῳ ἀνδρός,
Παρσὰς δ' εἰνὶ δίκῃσι πενιχροῖς ἔσσετ' ἀραγός.
13 Ἦ θὴν σοὶ οὔνομά σεν κλείουσιν φῦλα δικαίων·
Ἄνδρες θ', οἷς νόος ὄφρα ἐναίσιμος, οὔτ' ἀλιτήμων,
Σοὶ πάρα τ' οἰκήσουσι, τεῆς σὺν παρειδὲ τ' ὀπωπῆς.

Ψαλ. ρμα'. 141.

1 Πρὸς σὲ, Ἄναξ, ἐβόησα, αὐδήσεό μοι ὦκα παρείης,
Κέκλυθί μευ φωνῆς, ὅτε τοι ἱκέτης ἐβόησα.
2 Εὐχὴ μευ σέθεν ἄντα ἰθὺς κίοι ἶσα θυμιὴν,
Τῆς ὀδμὴ ἡδεῖα ἀφαμπερὲς αἰθέρ' ἱκάνει·
Οὐρανὸν εἰσαναδᾶσ', σοί θ' ὑψόσε χεῖρας ἀερτὰς,
Εἴλω, ὥς ὅτε τις πατὶ ἕσπερα ἱερὰ ῥέζει,
Δείλη τε σεσπὶ σοίγε φέρει κεχαρισμένα δῶρα.
3 Μάσαι μευ φυλακὴν στόμ, Ἀδάνατ', ἔμπεδον αἰεί·
Καὶ χειλέων μοι ἔρυσο πύλας, ἔχε δ' ἔρκος ὀδόντων.
4 Μὴ κακῷ ἐγχείμψαις κραδίην μὰ, αὔσυλα ῥέζειν,
Τοῖσι μέθ', οἷς ὕβρεις τε φίλη κὴ κέτλια ἔρχα·
Μηδέ τι μοι θαλέων σφετέρων ποτὲ ἔδμεναι εἴη.
5 Πλήξαι περ μὲ δίκαιος ἀνὴρ, κεχαρισμένος ἔστω,
Καί κεν ἐμοὶ ἄπηρα φέροι πλαγῇσιν ἔπεσι·
Καί μοι ὀπιπλήξαι. τὸ δ' ὡς ἐείπομεν ἔλαιον
Ἦκα κατειβόμενον, κεφαλὴν κέ μοι ἀ κατέδῃ.
Καὶ γὸ ἐγὼν ἔτι εὔξομ' ἐνὶ σφετέροισι κακοῖσιν.
6 Ἰφθιμοι δ' ἄρα τῶνδε δικασπόλοι, ἠδὲ μέδοντες,
Λειπόμενοι ὅτε μίμνον ἐπιρρέας κὴ πέτρας,
Μῦθον μὰ μαλακὸν τ', ὅπα κὴ μελίγηρυν ἄκουσαν,
Γνῶσάν θ', ὡς γλυκερή μοι ἀπὸ γλώσσης ῥέεν αὐδή.
7 Ὡς ὅτε τις τ' ὀπὶ γῇ τέμνων ὦλκα βαθείαν ἀρώσῃ,
Ἢ ξύλα δανὰ κέασσε, κὴ ἔρχισεν ὀξέϊ χαλκῷ.
Πολλὰ, τὰ δ' ἔνθα κὴ ἔνθα ἅλις κεκεασμένα κεῖται·
Ὣς κεῖτ' ὀστέα τ' ἀμὰ κεκλαδέντ' ἄλωσδε ἄλλη,
Ἂν στόμα τε γναθμός τε βερέθρῳ σμερδαλέῳο.
8 Ἀλλὰ, Θεὸς, σοὶ ἔγωγε, σοὶ, Ἀθάνατ', ὄμματ' ἀείρω,
Σοὶ δέ τ' ἐγὼ πίσυνος· μὴ ψυχὴν μευ πταρδάλλειν.
9 Ἀλλὰ σύω μοι ἵνα σεφύγω βρόχον, ὅν μοι ἔδηκαν,
Μηδέ μέ πω μάρψῃ κακοεργῶν δίκτυα φωτῶν.
10 Αὐτοὶ ὃ σφετέρῃσιν ἐνιπλήξωσι λίνοισιν
Ἄνδρες ἁλιτροί· ἐγὼ δ' ἄμυδις πάρ ἔξειμι ὑπαλύξω.

Ψαλ.

Ψαλ. ρμϛ'. 142.

1 Πρὸς ☩ Ἀνακτα βόησ' ὁπί μευ, ἱκέτης τε οἱ ἦα.
Ἐλλισάμην ὁπί μοι ἔειπον μύθον Ἀθακάτοιο.

2 Πὰρ δ' οἱ μὸδθον ἔχευα, ἔπος τ' ὀλοφυδνὸν ἔειπον·
Ἄτίμη τε συφορβὴ ἠ ὄϊζυί μευ κατέλεξα.

3 Ὁππότ' ἀμείχανος ἦα, φίλον τεπημύτος ἦτορ,
Δάκρυσι ἠ σοναχῆσι ἠ ἄλγεσι θυμὸν ἐρέχθων,
Δὴ τότε σὺ φρεσὶ σῇσιν ἐμοὶ εὖ οἶδα κέλευθον.
Εἰν ὁδῷ, ἦπερ ἴων, κρύβδα βόσχον ἄνδρες ἔδηκαν.

4 Παπταίνων ἑτάρους ὁπὶ δεξιὰ, εἴ τιν' ἴδοιμι,
Μάψ, ἐπεὶ οὔτις ἔην γνώτην ὅς μ' ἤθελεν ἀντίον·
Φυκτά μοι ὤλετο πάντα, κακὸν δ' ἐπὶ ἦν ἀλεωρή·
Οὔτις ἐμῆς ψυχῆς ὄθετο φρεσίν, ὥτ' ἀλέγιζεν.

5 Πρὸς σὲ, Ἄναξ, ἐβόησα λίγαν, Σὺ μοι ἔφημα ἠ ἐλπίς,
Καὶ ἀλέη, ἠ μοῖρα πέλεις ἐνὶ γῇ ζωόντων.

6 Νῶϊ δ' ἐμέθεν ξυόες ὦκες, ὀλοφυρομένοιό τ' ἄκουον,
Λίην γὰρ δέδμημαι ὀϊζυῖ ἠὴ κακότητι·
Ἔκ τ' ἰθὺς βίης με σάω, ῥῦσαί τ' ἐξ ὕβριος ἀνδρῶν,
Οἵ με διώκασιν, ἠ γάρ μευ κρείσσονές εἰσιν.

7 Ἐκ φυλακῆς ἔαγε ψυχή μου, ἧπερ ἔερκτο,
Λευγαλέης, ἵνα σὸν κλέος ὐρανόμηκες ἀείσω,
Σόν τ' ὄνομ' αἰνήσω· ἦ κ' ἀνέρες ἔνθα δίκαιοι
Ἀμφὶ μοι ἠγερέθοιαθ' ὁμῶ ἱερῷ ἐνὶ κύκλῳ,
Ὅτι σύ μ' ἐθλὰ ἔοργας, ἐνὶ φρεσὶν ἧπια εἰδώς.

Ψαλ. ρμγ'. 143.

1 Κλῦθί μευ εὐχομένοιο, Ἄναξ, ἠ ἄκουε λιτάων·
Σεῦδε δ' ἀληθείης τε ἠ εὐδικίης ἕνεκεν σῆς.

2 Μή μοι ἐεισομένῃσι δεράποντι σῷ εἰνὶ δίκῃσιν·
Σεῖο γὰρ ἀντίον ὅτις ἐνὶ ζωοῖσιν ἀμύμων,
Οὐδέ τ' ἀναίτιος ἔσται, ὅταν σύγε νείκεα κείνῃς.

3 Καὶ γὸ ἐμοὶ ψυχῇ ἐδίωξεν ἀνάρσιος ἀνὴρ,
Νηλεὲς ἦτορ ἔχων, βίοτον δέ τε κῆδεα δ' ἤραζε·
Καί μ' ὑπένερθε καθεῖσεν, ἐνὶ ζόφῳ ἠερόεντι

Ναιέμεν, ἴσα νέκυσι πάλαι πεφθιμένοισι.
4 Τὔνεκ' ἀμηχανίη μοι ὀρώρεται ἔνδοθι θυμός·
Καί μοι ἐνὶ στήθεσσι καταπλάζεται φίλον ἦτορ.
5 Ἤματα, τὰ πρὶν ἔπιχθιν, ὀΐομαι, ἠδέ με λήθει
Τῶνδ' αἰρεῖ· ἀμυδὶς δ' παροιχομένων γενεάων
Μνησάμενος, σά τε πάντα μετὰ φρεσὶ βάλλομαι ἔργα,
Ὀρμαίνω τ' ἐνὶ θυμῷ, ἃ χερσὶ τεῇσιν ἔρεξας·
6 Σοὶ ἱκέτης πρὸ ἔειπε, σοὶ ὑψόσε χεῖρας ὄρεξα·
Ψυχή μου ποθέει σε ἀμήχανος, ὡς ὅτε γαῖα
Δίψῃ καρχαλέη κάτεν ὑετοῦ ὀφρὲ ἔρεσσι.
7 Κλῦθί μοι, Ἀθάνατε, ὦκα, κακῶς κεκαφηότα θυμόν·
Μὴ ποτέ μευ ἀπονόσφι τελεῖ πρόφρασσιν ὀπωπήν,
Μὴ κεν ὁμοῖος ἔω τοῖς εἰς ἀΐδαο μολοῦσι.
8 Μειλιχίως ἄρ' ἔμοιγε πραΰσκετο σὴν ἔλεόν τε
Πρωΐ μάλ', ἕνεκα σεῖο πεποίθεα· καί με δίδασκε
Τηλοῦ ὁδὸν, τῇ μ' ἴέναι χρὴ, ἐπεὶ σοὶ θυμὸν ἄειρα.
9 Δυσμενέων μ' ἐκ χειρὸς, Ἄναξ, σάω· ἐς σὲ γὰρ αἰεὶ
Τετράφαται φεύγω· σὺ δέ μοι δηΐων ἀλεωρή.
10 Πεφραδέως με δίδαξον ἐφημοσύνῃσι τεῇσι
Πείθεσθαι, ἔρδειν θ' ὅ, τι τοι φίλον ἔπλετο θυμῷ,
Ὅτι σύ μοι Θεός ἐσσι, τεὸς δ' ἐγὼ εὔχομαι εἶναι·
Πνεῦμα δέ σευ ἀγαθὸν με ἀγηνέος ἀμπέδον ἰδύ.
11 Ζώγρει μ' ἐνθμάτος τεῦ εἵνεκεν, ἠδὲ βίωσαι,
Ἀθάνατε· σὺ δίκης τε τεῆς ἕνεκέν με σάωσον,
Ῥῦσαί τε ψυχήν μευ ὀϊζύος ἐξ ἀλεγεινῆς.
12 Μειλιχίῃ δὴ τεῇ (μάλα γὰρ σύ μοι ἵλαος ἐσσι)
Δυσμενέοσιν ἐμοῖσιν ἀεικέα πότμον ἐφείης,
Καὶ πάντας μοι θυμὸν ἀπεξέσσαι μεμαῶτας
Πρόχνυ κακῶς ὀλέσαις· θεράπων γὰρ ἔγωγέ τοι εἰμί.

Ψαλ. ρμδ'. 144.

1 Αἰνετὸς εἶη Ἄναξ, ὅς μοι κράτος ἱερὸν, ὅς τε
Χεῖρας ἐμὰς ἐδίδαξεν ἀϋτήν τε, πολεμόν τε,
Οὗ τ' ἔμαθον βελέεσσι μιγήμεναι ἐν δαὶ λυγρῇ
Δάκτυλοι, ἠδὲ μάχης οὗ εἰδότες εἰσὶν ἁπάσης.

2 Ὅς

2 Ὃς μοι ἐνιπείη ἔλεός τ', ἐμὸν ἔρμα τε εἵλαρ,
Πύργος ἐμὸς καὶ ἀρωγὸς, ἐμὸν σάκος, ᾧ τε πέποιθα·
Λαοὺς ὅς τ' ἐδάμασεν ἐμοῖν ὑπένερθε πεδοῖιν.

3 Ἄνθρωπος τί γάρ ἐστιν, Ἄναξ, ἵνα μιν τ' ἀνὰ θυμῷ
Γνάμεναι ὡς ἐθέλησθα; τί καὶ παῖς ἀνθρώποιο,
Ὄφρ' ἔτως αὐτοῖο μεταπρέπῃ, ἠδ' ἀλεγίζῃς;

4 Ἄνθρωπος μαπίῃ ἀλεγεινῇ πάμπαν ἔοικε·
Τῷ δ' ὀλίγος τε βίος, σκιῇ ἴκελος, ἠὲ καὶ ὀνείρῳ
Ῥίμφα παροιχομένῳ, κεῖ δ' εἴδεται οἷ βραχὺς αἰών.

5 Ἀθάνατε, κλῖνον τεὸν ἔρανον, ἠδὲ κάτελθε·
Μοῦνον δ' ἠλιβάτων ὀρέων καὶ δακτύλῳ ἄκρῳ
Ἅπτεο, τῇσί τε καπνὸν ἀποθρώσκοντα νοήσεις.

6 Δεινὸν δ' ἀστράψαις, σκέδασόν τ' αὐτοῖσιν ἐνείκας,
Τῶνδ' αἰπεινὰ κάρηνα βαλὼν ἀργῆτι κεραυνῷ·
Οὐρανόθεν δ' ἅμα τοὺς ἀφιεὶς φολόεντα βέλεμνα,
Τοῖσιν ἄφαρ μέγα πάρος, ἰὸν ἄασσον ἐν κλόνον ὄρσαις.

7 Χεῖρα τάνυσσον ὕπερθ', ἔμ' ἔρυσαί τ', ἠδὲ σάωσον
Πολλῶν ἐξ ὑδάτων, ἵν' ὑπόδρυχα μή με πάθῃσι,
Ξείνων ἐκ γενεῆς ὀλοόφρονος ἀλλοδαπῶν τε·

8 Ἀνδρῶν τῶνδέ με ῥῦσαι ὕπ' ἐκ χειρός τε βίης τε·
Ὧν στόμα μαψιδίως κακὰ καὶ ἀνημώλια βάζει,
Δεξιὴ αὖ ψεύδεσι κεκασμένη ἠδὲ δόλοισι.

9 Σοίγε, Θεὸς, νεοτεύκτων ἐγὼ ἀναμέλψομαι ἀοιδὴν·
Ναβλίῳ σὺν κελάδῳ, δεκαχόρδῳ τ' αἶνον ἀείσω.

10 Ὃς τε φόως βασιλεῦσι δίδοις· ἠδ' ἐξανέλυσας
Ἄορος ἀλομένοιο τεὸν θεράποντα Δαβίδιον.

11 Δεῦρ' ἄγ' ἰών μοι ἀρωγὸς, ἔρυσαί μ' ἠδὲ σάωσον,
Ξείνων ἐκ γενεῆς ὀλοόφρονος ἀλλοδαπῶν τε·
Ἀνδρῶν τῶνδέ με ῥῦσαι ὑπ' ἐκ χειρός τε βίης τε·
Ὧν στόμα μαψιδίως κακὰ καὶ ἀνημώλια βάζει,
Δεξιὴ αὖ ψεύδεσι κεκασμένη ἠδὲ δόλοισι.

12 Τιέες ἡμέτεροι, φυτὰ ὡς ἐν γουνῷ ἀλωῆς,
Ἡβώοντες, ἕκαστος ἀνεδραμεν ἔρνεϊ ἴσος·
Θυγατέρες σῆλαι ὡς τοίχων ἐν συνοχμῷ,
Ἀμφότερον, κόσμος τε καὶ ἄασσον ἕρμα δόμοιο,

Καλαὶ, εὐξεσιμ, νηοῖό τε εἶδος ἔχουσαι.
13 Ἄμμιν ἐυκτίμενναι μέγα βιβειάασιν ἀλωαὶ,
Καρποῖς παντοίοισιν ἐπηετανὸν γανόωσαι·
Τίκλει δ' ἔμπεδα μῆλα, τὰ δ' ἔμβρυά τ' εἰσ' οἰέσσι
Χίλια, καὶ δεκάχιλ', ἐν ἀγυιῆς ἠμετέρῃσι.
14 Ζατρεφέες δὲ βόες, ζυγὸν οἵ θ' ὑπὸ ξεῖα φέρωσιν,
Αἴθωνες, μεγάλοι· ὀπὶ δ' εἰρωὴν ἄλις ὄζιν.
Οὔ δηΐων ποτὲ φλοῖσβος ἰωκή τ' εἰσελασάντων,
Τῶνδ' ἀκ εἰσήθμη, οὔτ' ἔκβασίς ὄζι πολιτέων,
Δμηθέντων πολέμῳ, οὔτ' εἴρερος, οὔτε βοητύς,
Οὐδέ πις ἐς' οἰμωγὴ ἐν ἠμετέρῃσιν ἀγυιᾶς.
15 Ὄλβιος ἔστος ὁ λαὸς, ᾧ ἤδε γε μοῖρα πέλεται·
Ὄλβιος ἔστος ὁ λαὸς, ᾧ Ἀθάνατος Θεὸς ἦσι.

Ψαλ. ρμέ. 145.

1 Κυδανέω σε, Θεός μευ Ἄναξ, ὕμνοισιν ἀείρων·
Καὶ τεὸν αἰνήσω κλυτὸν οὔνομα νωλεμὲς αἰεί.
2 Ἤματα πάντα κε τοι εἰδέω χάειν, ἠδέ σ' ἀείσω·
Καὶ τεὸν αἰνήσω κλυτὸν οὔνομα νωλεμὲς αἰεί.
3 Ἀθάνατός τε μέγας, μέγα τ' αἰνετός· ἠδέ κέ τις μιν,
Ὅσσος ἦ ὡς μέγας ἦεν, μάλα περ διζήμενος εὕροι.
4 Ἐρχόμεναι γενεαὶ, πρὸ μὲν ἄλλη, αὐτὰρ ἐπ' ἄλλη,
Κλείουσιν τεὰ ἔργ', ἐρέουσ' ἄ, τε καρτερὰ ῥέξας.
5 Σόν τε κλέος καὶ κῦδος ὑπείροχον ἀγλαΐζω τε,
Θεσπεσίῃ λέξω, σά τε θαύματα θέσκελά τ' ἔργα.
6 Σὸν κράτος ὀβριμοεργὸν ἀοίδιμον ἀνδρώποισιν·
Ἦτοι ἐγὼ μέγεθος καὶ κῦδός σευ καταλέξω.
7 Μειλιχίην μεγάλην σευ ἐρεύξονται σομάτεσσιν,
Μνησάμενοί σευ ἐνηείης, ὅσα τ' ἐσθλὰ ἔοργας·
Σιὴ τε δικαιοσύνῃ λιγυρῇ κλείουσιν ἀοιδῇ.
8 Ἤπιός ὄζιν Ἄναξ, καὶ μείλιχος ἠδ' ἀγανόφρων·
Δῦ δέ μιν ὀψὲ χόλος, μάλα δ' οἱ νόος ἐς ἐλέημων.
9 Πανάγαθος καὶ πᾶσιν Ἄναξ· ἐφ' ἃ ἔργα ὃ πάντα
Αὐτῷ μειλιχίη ἀγανοφροσύνη τε νόοιο.
10 Πάντα σὰ ἔργα, Ἄναξ, σ' αἰνήσει· ἠδέ σ' ὁμαρτῇ

Σοὶ

Σοὶ ὅσιοι κλείουσι, θεοσδέα θυμὸν ἔχοντες.
11 Κῦδος σὸν, ἠγαθέην βασιληίδα τιμὴν,
Ἣ τε σὺ πάντων μὲν κρατέεις, πάντεσσι δ' ἀνάσσεις,
Λέξασιν, δύναμίν τε τεὴν κλείουσι βίην τε.
12 Ὄφρ' εὖ γινώσκωσιν ὅτι χθονὶ φῦλα ἀνθρώπων,
Οἷα σὺ καρτερὰ ἔέξας, ὃς ἀέναος ἠκ ὀπιπτός·
Ὡς σκήπτροιο τεοῖό θ' ὑπείροχον ἔπλετο κῦδος,
Ὡς εὐρυκρείων τε, ἠὼς βασιλεύτατός ἐσσι.
13 Ἦσσι σκῆπτρον, Ἄναξ, σκῆπτρον τεὸν, ἄφθιτον αἰεί·
Σὴ δέ τε κοιρανίη ἀφ' ἁπάντων γενεάων,
Μίμνει τ' ἤματα πάντα διαμπερὲς ἐσσομένα.
14 Πᾶσιν Ἄναξ πίπτουσιν ὑποδοχὴν χεῖρα κραταιὴν
Ἔρμα πέλει. πάντας δ' ἤδη ἐειπόντας ἐγείρει.
15 Πάντων σ' ὀφθαλμοὶ ποτιδέγμενοι εἰσορόωσι·
Τοῖσι δὲ σὺ τροφὸς ἔσσι, ἠὲν ὥρῃ εἰδαρ ὀπάζεις.
16 Χεῖρα τελὼ ἀνέῳξας· ἰδὲ ζωοῖσιν ἔδωκας
Πᾶσιν ὅ, τ' ἄρκιον ἦεν, ὅ τε σφέας ἵμερος αἱρῇ.
17 Πάσῃς Ἀθανάτοιο ὁδοῖς δίκη αἰὲν ὀπηδεῖ,
Πάντεσσιν δ' ἔργοισιν ἑοῖς ὅσιη τε χάρις τε.
18 Ἄγχι μάλ' Ἀθανάτῳ πᾶσιν μιν λιτομένοισι,
Πᾶσιν ὑπὸ κραδίης ἐτεὸν μιν λιτομένοισι.
19 Κρήηναι κεν τοῖσί μιν ἀζομένοισιν ἐέλδωρ,
Ὅ, τι φίλον σφι, δίδῃς, ἠὲ ὅτευ κεχρημένοι εἶεν·
Καί κε σφῆς τε βοῆς ἐπακούσαι, ἠδὲ σαώσαι.
20 Πάντας Ἄναξ ἐφύλαξ', οἳ μὲν θεὶ κῆρι φιλεῦσι·
Πᾶσι δὲ δυσσεβέεσσιν ἀεικέα πότμον ἐφήσει.
21 Αἶνον δ' Ἀθανάτοιο ἀνὰ στόμ' ἔχων ἀγορεύσω·
Πάντα δ' ὅσα ζώουσι, ζώουσης δ' ἔξεισι γενέθλης,
Οὔνομα τὸ δ' ἱερὸν κλείοντων αὐλιμὲς αἰεί.

Ψαλ. ρμς'. 146.

1 Αἰνεῖ, ἐμὴ ψυχὴ, ἱερὸν μῦθον Ἀθανάτοιο.
2 Αἰνήσω τὸν Ἄνακτα διαμπερὲς, ἕως μοι αὔτμὴ
Ἐν στήθεσι μένει, ἠὲ ὁρῶ φάος ἠελίοιο·
Ἕως ζωοῖσι μέτειμι, θεὸν ἐμὸν αἶνον ἀείσω.

3 Μὴ πίσυνοι ἀρχοῖσιν ὀπιχθονίοισι γένησθε·
Μή τ' ἄλλῳ τεῳ, ὃς σώντων ἔξεσι τοκήων,
Ὧ οὐκ ἀρκιὸν ὄζει φόως ἐρῦψ, ὅτε τι ἄλκαρ.
4 Τῷδ' ἐπεὶ ἓν ἄραρε πνεῦμ' ἀπὸ σήθεσφιν ἀϋτμὴ,
Ὃς δέ τε θυμὸν ἄϊσθεν, ἀπὸ ψυχήν τ' ἐκάπυσε,
Νεῖται εἰὴν ὀπὶ γῆν, ὅθεν ἤλυθεν· ἦματι κείνῳ
Ἡ μάλα πάντ' ἀπόλωλεν ἐῢ μελεδήματα θυμῷ.
5 Τεὶς μάκαρ, ᾧ Ἰακωβιαδέων Θεὸς ὄζεν ἀραγός·
Οὗ κὴ ἐπ' Ἀθανάτῳ Θεῷ αὐτῷ θυμὸς ἐώλπει.
6 Οὐρανὸν ὅσσερ ὕπερθεν, ἔνερθε θ' ἁλίαν ἔτευξεν,
Ἠδ' ἄλα πορφυρέων, ὅσα τ' εἰν αὐτοῖσι πέλονται.
Ὃς ξ' ἐτεὸν ἀλὲ πάντα τελευτᾷ, ὥσσερ ὑπέστη,
Νωλεμὲς, αἰεὶ δ' οἱ φίλ' ἀληθέα μυθήσασθαι.
7 Ὃς τε βιαζομένοισι παείσατο εἰνὶ δίκῃσιν,
Εὐδικίας ἀνέχων, θυμαλγέα δ' ὄβριν ἀλάλκων·
Πεινάουσιν ἔδωκεν Ἄναξ μυρίοισιν ἐδωδήν·
Τῶν δ', οἵ τ' ἐν φυλακῇσιν ἔερχατο, δῶματ' ἔλυσεν.
8 Ἀθανάτῳ τυφλοῖσι φάος τε κὴ ὄψιν ἔδωκεν,
Ὀφθαλμῶν δέ τ' ἀκέσατ' ἀειπελίλιν ἀλαωτιὼ·
Ἀθανάτῳ κυφούς τε χαμαί τ' ἀνέγειρε πεσόντας·
Ἀθανάτῳ φιλεῖ ἄνδρας, ὅσοι φρένας ἄσιμοί εἰσιν.
9 Ἀθανάτῳ ξείνοισι παείσατο, ἠδὲ φυλάσσει·
Παῖδάς τ' ὀρφανικὰς ῥύεται, χήρας τε γυναῖκας·
Ἀνδρῶν δ' αὖτε λάφυξαίει ὁδὸν ἔργα τ' ἀλειτέων.
10 Ἀθανάτοιο βίη βασιλεύσει νωλεμὲς αἰεί·
Ἡ τε μάλ' ἤματα πάντα Θεός σευ, πότνια Σιών,
Ἀλλήκτοις γενεῇσιν ἀνάξει. Κλεῖτ' Ἄνακτα.

Ψαλ. ρμζ'. 147.

1 Κλεῖετ' Ἀναχθ'· ὅτι καλὸν ἀειδέμεναι Θεὸν ἁμόν·
Ἡδύ τέ μιν μέλπεσθαι ἀοιδῇσι λιγυρῇσιν,
Ἠδέ μιν αἰνίζεσθαι ἔοικε μάλ', ὐκ ἀπέοικεν.
2 Ἰερσόλυμά τ' ἔδειμεν Ἄναξ, κὴ τείχεα μακρά·
Ἰσραήλοιο ξυναγείρατό τ' αἰὲν μετανάστας.
3 Ἠκέσατ' ἀνέρας, οἵσι κατεκλάσθη φίλον ἦτορ,

Ἕλκεά

Ἕλκειά τ' εἰ κομέων, ὅπι τ' ἤπια φάρμακα πάσων,
Φάρμαχ', ἃ κεν παύσηισι μελαινάων ὀδυνάων.
4 Ἀλλά γε τείρεα πάντα, τά τ' ὐρανὸς ἐστεφάνωται,
Εὖ κὴ ὀπιταμένως πεμπάσατο, λέκτο δ' ἀριθμὸν,
Ἐξονομακλήδην ὀνομάζων ἀστέρ' ἕκαστον.
5 Ἦ μέγας ἄμμιν Ἄναξ· τῦ τε κράτος ὄζοι μέγιστον·
Καὶ νόος ἐν σήθεσσιν ἀμέτρητος κὴ ἀπείρων.
6 Ἄνδρας Ἄναξ ἀγανὺς κὴ ἐνηέας ὕψόσ' ἄειρε·
Τὺς δέ τε κάββαλ' ἔραζε κὴ ἐσυφέλιξεν ἀλιτρύς.
7 Αἰνεῖτ' Ἀθάνατον λιγυρῇ μέλποντες ἀοιδῇ,
Καὶ Θεὸν ἡμέτερον κιθάρης μελιηδέϊ φωνῇ.
8 Οὐρανὸν ὄσπερ ὕπερθε μέγαν νεφέεσσι κάλυψεν,
Ὅς τε κὴ ὄμβρον ἑτοιμάσατο χθονὶ πυκνοτείρῃ·
Ὅς τε κὴ ὄρεσι δῶκε φύειν νεοθηλέα ποίην.
9 Κτηνέσσί τε βρώμην, σφέτερόν δ' ἅλις ἔιδαρ ὄπασσε
Φηρσὶν ὀρεσκῴοις, κοράκων τ' ἀπτῆσι νεοσσοῖς,
Οἳ μέγα πεινάοντες ὄπα τρηχεῖαν ἱεῖσιν.
10 Οὐ θένος ὄβριμόν οἱ κρατερώνυχος ἔυαδεν ἵππου·
Οὔτ' ἀνδρὸς σκελέεσσ' ὀπιτέρπεται, ἔστε πάχισος
Μυῶν τε κνήμη, πέλει τ' ἔμπεδα νεδρα πέλονται.
11 Τοῖσί μιν ἀζομένοισιν ἐνὶ φρεσὶν ἀνθρώποισι
Τέρπεῖ Ἄναξ, ἐλέῳ δέ θ' ἑῷ ἔπι ἐελπομένοισιν.
12 Ὦ Σόλυμ', αἶνει Ἄνακτα, Θεὸν δέ σευ αἴνεε, Σιών.
13 Ὅπι πύλας σοι ἔθηκε πύκα τρεβαρῶς ἀραρυίας,
Καὶ κάρτωσεν ὀχῆας, ἔδοντοι ἴν' ἀσφαλὲς εἴη·
Σοί τ' ἔνι σοῖσι τέκεσσιν ἀθέσφατον ὄλβον ὄπασσεν.
14 Εἰρήνην σοι ἔθηκε τεῆς ἀνὰ πείρατα γαίης·
Ἀδδύω τ' ἔδμῳ ἔδωκε μυλωφάτι ἀλφίτου ἀκτῆς,
Παυπάλῃ ἠδέ σε θρέψεν ἅλις, πυρῷὸ τ' ἀώτῳ.
15 Ὡς τε ἔπος ποτέπεκεν ὅτι ζείδωρον ἄρουραν,
Ὡς τόδε ῥίμφα θέει, τῇ δ' ἄπτερος ἔπλετο μῦθος.
16 Εἰείον ὡς νιφάδας ταρφειὰς ἧκεν ἔραζε,
Καὶ τότε νηματέῳ μάλ' ἰάνθη γαῖα χιτῶνι,
Ἀμφότερον, λευκῷ τ' ἰδέειν, μαλακῷ τε φορῆναι·
Πάχνην χειμερίην, ὥστερ κόνιν αἰθαλόεσσαν,

Χεύατο

Χεύατο καὶ ἐκέδασεν ὅτι χθονὸς εὐρυοδείης.
17 Κρύσταλλον ὡρέηκεν ἐὸν ψωμοῖσιν ὁμοῖον·
Τίς κεν ἔτ' ἐγγὺς ἰὼν μίμνοι τετληότι θυμῷ,
Ὁππότε χειμῶνος δυσθαλπέος ἴλυδιν ὦρης
18 Ὡς δ' ὅτε μῦθον ἔτελλε, τὰ δ' αὐτίκα πάντα λέλιωται,
Τηκομένων δ' ἄρα τῶν δυχείμερα δέσματ' ὄλωλε·
Πνείει δ' ᾧ ἀνέμῳ, καὶ ὕδωρ ῥέει ὡς τὸ πάρος περ,
Τοῖο ἕκητι, ὑπαὶ ξίφεος νότου ὑγρὸν ἐέντος.
19 Ὃν λόγον ἐκφαίνει Ἰακωβιάδῃσι, θέμιστας
Ἠδὲ θεοπροπίας Ἰσραήλοιο γενέθλῃ.
20 Οὐχ ἕτερόν πε λαὸν ὅτι χθονὶ τοιάδ' ἔρεξεν·
Ἄλλοι δ' οὐκ ἴσασιν ἃ θέσφατα. Κλείετ' Ἄνακτα.

Ψαλ. ρμη'. 148.

1 Κλείετ' Ἄνακτα, κλείετ' ἀπ' οὐρανῦ ἀστερόεντος·
Ὑψόθεν αἶνον ἀείδετ' ἀπ' αἰθέρος ἀτειμήτοιο.
2 Κλείετέ μιν πάντες, χοροὶ ἱερῆς, Ἄγγελοι αὐτῦ·
Κλείετέ μιν σύμπαντες ἐῶν στρατοὶ οὐρανίωνες.
3 Κλείετε δ' ἠέλιός τε σελήνη τε πλήθουσα·
Κλείετέ μιν σύμπαντες ἅμ' ἀστέρες αἰγλήεντες·
4 Καί μιν ἐπαινείτω ὑπὲρ οὐρανὸν ὑψόθι πάντων·
Ἀλλὰ καὶ ὕδατ' ὁμῦ ὑπὲρ οὐρανὸν ὑψόθ' ἐόντα.
5 Πάντα τάδ' αἰνείτω ὄνομ' ἱερὸν Ἀθανάτοιο·
Ὃς μὰ λάρ τ' ἔπος εἶπεν, ἄφαρ τ' ἐτεύκτο ἅπαντα,
Αὐτίκα καὶ ἅμα μῦθος ἔην, τετέλεστο τ' ἔργον.
6 Καὶ τὰ μὲν ἔστησε Δημήτερες ἤματα πάντα,
Νωλεμὲς ὄφρα μένῃ. τοῖσιν δέ τε θεσμὸν ἔθηκε,
Θεσμὸν, ὃν οὔτε παρεξελθεῖν θέμις, οὔτ' ἀλιῶσαι.
7 Κλείετ' Ἄνακτα καὶ ὔμμες ἀπὸ χθονὸς εὐρυοδείης,
Φῦλα δρακόντων, ἠδὲ πελώρια κήτεα πόντου,
Νέρθε τε βένθεα πάντα, καὶ ὑγρὰ θέμεθλα θαλάσσης.
8 Πῦρ, κρυερή τε χάλαζα, χιὼν, καὶ νήχυτος ἀτμὴ,
Ἠδ' ἄνεμος ζαὴς, ὃς ἑὸν τ' ἔπος ἐξετέλεσσεν.
9 Οὔρεα, σύμπαντές τε λόφοι, καὶ ῥώονες ἄκροι·
Δένδρε', ἃ, τ' ἀνθρώποισι φέρει μελιηδέα καρπὸν,

Καὶ

Καὶ πᾶσαι κέδροι, αἵ τ' ὀδμὴν χαείσασαι ἔασι.
10 Θῆρές τ' ἀγρότεροι, κτηνέων δέ τε ὄσσα κάρηνα,
Πώεα, μῆλά τε πάντα· ϗ ἕρπετὰ πτιλυέλικτα,
Τοῖσι δ' ἅμ' ὀρνίθων πετεηνῶν ἔθνεα πάντα.
11 Σκηπτοῦχοι βασιλῆες, ὅσοι χθαμαικοιρανέουσι
Γαῖαν ἀπειρεσίην· ϗ μυρία φῦλ' ἀνθρώπων,
Λαοί, ϗ λαῶν ἡγήτορες, οἵ τε δήμους
Εἰρύαται, πάντες τε δικασπόλοι ἀνέρες αἶης.
12 Σωὶ δ' ϗ ἠίθεοι, ϗ παρθένοι ἀλφεσίβοιαι.
Πρεσβύτεροι γενεῇ, ἅμα ϗ νέοι ἠβώοντες.
13 Κλειόντων τε ϗ αἰνεόντων ὄνομ' Ἀθανάτοιο·
Οὔνομα γὰ τοῦδ' εἶϊν ὑπείροχον ἔπλετο πάντων,
Κοῦδος ὑπὲρ γαῖάν τε ϗ οὐρανὸν ἀιξερόεντα.
14 Λαοῦ δ' ὑψόσ' ἄειρεν ἑοῦ κέρας ἀγλαΐην τε·
Αἶνος ὅ κεν ϗ ἀοιδὴ ὁμοῦ ὁσίοισιν ἔοῖσι
Πᾶσιν ἔοι, παίδεσσιν ἀμύμονος Ἰσραήλου,
Λαῷ, ὃς φίλος οἱ, μάλα τ' ἐγγύς. Κλείετ' Ἄνακτα.

Ψαλ. ρμθ'. 149.

1 Ἀθανάτῳ νέον ὕμνον ἀείδετε· τοῖο δ' αἶνος
Καὶ κλέος ἐσθλὸν ἔοι ὁσίων ἀνδρῶν ἐν ὁμίλῳ.
2 Τῷ φρένα τερπομένη Ἰσραήλοιο γενέθλη
Χαίρει, ὅς μιν ἔτευξεν· ἐϋφραινοίατο θυμῷ
Ἀγλαὰ τέκνα Σιῶνος, ἀγαλλόμενοι βασιλῆϊ.
3 Τοῦ δ' ὄνομ' εἰνὶ χορῇσιν ἀοιδῇσι κλείοντων.
Καί μιν ἀείδοντων τυπάνοισί τε ϗ κιθάρῃσιν.
4 Ἀθανάτῳ γὰ λαὸς ἑὸς κεχαρισμένος ἐστί,
Τοῖσι δ' ὄγ' ἦρα φέρει, μάλα τε σφέας ἀμφαγαπάζει·
Ἄνδρας τε πλωχὰς ϗ ἐνηέα θυμὸν ἔχοντας
Ῥύσεται, ἐνδυκέως τε φόως αὐτοῖσι δώσει
Ἀγλαόν· ἀμφότερον, κόσμον τ' ἔμμαι ϗ ἀρωγήν.
5 Ἀνέρες ἔν ὅσιοι κεχαρίσατο κυδιόωντες,
Γηθοσύνῃ τ' ἀλαλάξαιεν σφοῖς εἰνὶ λέχεσσιν.
6 Αἶνόν θ' ἱμερόεντα θεῷ, χαείσαν ἀοιδήν,
Ἂν στόμα, ϗ ξίφος ἄμφηκες μιῇ χερσὶν ἔχοιεν.

7 Ἐθνεὰ

7 Ἐθνικά τε κτείναι, καὶ ἐπικότοις δῆμοι ἀλέξαι,
Καὶ λαοὺς πάσαιτο ὑπερφιάλοιο ἀλεγεινῆς.
8 Σεμνῇσι κραταιῇς αὐτῆς βασιλῆας ἀγαικὰς
Ζωννῦσθαι, ἀργύρεά τε σιδηρείοισι πέδῃσιν.
9 Ὄφρα δίκην ποτὲ τοῖσι, πίσιν τ' ὀπὶ πάγχυ φέρεσθαι,
Γραπτοῖσιν ζαθέῃ ἐνὶ βίβλῳ· ἦδέ γε πιὴν
Πᾶσιν ἐοῖς ὁσίοισιν ὀπηδεῖ· Κλείετ' Ἄνακτα.

Ψαλ. ρν'. ΙΑΥ.

1 Δεῦτ' ἄγετε, ξυνὴν ᾗ θεῷ ἐκτιμίετ' ἀοιδήν·
Κλείετε δὴ μιν ὑπερθίης ἢ οἱ ἕδος ἱερὸν ὄζει.
Κλείετε δ' αὖ μιν ἀείδοντες καὶ αὐδήεσσι λίγῃσι,
Ἣ κράτος οἱ μέγα τ' ὄζει, μάλιστα δ' ἅπασι πέφανται.
2 Κλείετέ μιν κρατερῶν ἕνεκ' ἔργων, ὅσσα ἔοργε·
Κλείετέ μιν μολπῇσιν ἀείδοντες λιγυφώνοις,
Ὡς θέμις ὄζειν, ὅς κράτος ἦ-κδδός τε μέγιστον.
3 Αὐτὸν ἀειζήλῃ σαλπιγγος κλείετε φωνῇ,
Ναβλίῳ εὐκελάδῳ, ἅμα καὶ φόρμιγγι λιγείῃ.
4 Κλείετέ μιν τυπάνοισι, καὶ ὀρχηστῦϊ καὶ ἀοιδῇ·
Κλείετέ μιν χορδῇσι, καὶ ὀργάνῳ ἠχήεντι.
5 Κλείετέ μιν λιγυρὰ κροτέοντες κύμβαλα χερσὶ,
Κύμβαλα χαλκεόφωνα, μέγαν τ' ἀλαλαγμὸν ἴέντα.
6 Ὅ, τι πνεῖ ὃν πνείει, καὶ ἔχει ζωαρκέ' ἄϋτμην,
Κλείετω ἦ φωνῇ τὸν Ἄνακτα. Κλείετ' Ἄνακτα.

ΤΕΛΟΣ.
FINIS.

ERASMUS
VAUGHAN.

Oct. 29. 1731.